## 2 Indicativus, imperativus et infinitivus praesentis activi.

Μανθάνω, λέγω, ἀκούω. Μανθάνομεν καὶ γράφομεν. Οὐ γράφεις καὶ οὐκ ἀκούεις, ἀλλὰ λέγεις. Ἄκουε καὶ μάνθανε. Μὴ λέγε. Ἀκούετε καὶ γράφετε. Οὐκ ἀκούετε, ἀλλὰ λέγετε. Χαίρω μανθάνετε γὰρ σπουδαίως. Ἐθέλομεν ἀκούειν καὶ μανθάνειν σπουδαίως. Ἀκούουσι, λέγουσι καὶ μανθάνουσιν. Μὴ λεγέτω, ἀλλὰ μανθάνετω. Ἀεὶ μανθάνει σπουδαίως. Μὴ λέγετε, ἀλλὰ ἀκούετε καὶ σπουδαίως μανθάνετε. Ποῖ βαδίζεις; Χαῖρε. Χαίρετε.

- 9 -

## 3 Feminina primae declinationis.

1. Ἡ στρατιὰ τὴν χώραν φυλάττει. 2. Ἡ ἀνδρεία ῥίζα τῆς δόξης ἐστίν. 3. Ἡ γλῶττα πολλάκις ἐστὶν αἰτία ἔχθρας. 4.Ἡ τῆς ἀδελφῆς οἰκία ἐστὶν ἐγγὺς τῆς ἀγορᾶς. 5. Ἡ φιλία ἄγκυρά ἐστιν ἐν τῇ ἀτυχίᾳ. 6. Τὴν Εὐρώπην καὶ τὴν Ἀσίαν ἡ θάλαττα περιέχει. 7. Αἱ νῖκαι τῇ στρατιᾷ δόξαν καὶ τιμὴν φέρουσιν. 8. Ἐν τῇ εἰρήνῃ αἱ ἐπιστῆμαι καὶ τέχναι ἀκμάζουσιν. 9. Φυλάττετε τὴν εἰρήνην. 10. Φροντίζετε τῶν ἐπιστημῶν, ἡ γὰρ ἐπιστήμη πηγή ἐστι τῆς σοφίας. 11. Ἐθέλομεν μανθάνειν τὰς τέχνας καὶ ἐπιστήμας.

## 4 Masculina primae declinationis.

1. Τίς ἐστιν εὑρετὴς τῆς γεωμετρίας; Εὐκλείδης. 2. Τοῦ ποιητοῦ ἐστιν τὴν ἀλήθειαν γράφειν. 3. Ἡ ἀνδρεία τῷ στρατιώτῃ, ἡ δικαιοσύνη τῷ δικαστῇ πρέπει. 4. Τῷ νεάνιᾳ πρέπει τὴν γλῶτταν κατέχειν. 5. Ὦ δικαστά, φεῦγε τὴν ἀδικίαν. 6. Οἱ στρατιῶται φυλάττουσι τὴν τῶν πολιτῶν ἡσυχίαν. 7. Ἡ δικαιοσύνη τοῖς δικασταῖς δόξαν καὶ τιμὴν φέρει. 8 . Αἱ Μοῦσαι τοὺς ποιητὰς στέργουσιν. 9. Ὦ πολῖται, στέργετε τὰς ἐπιστήμας καὶ τέχνας.

## 5 Substantiva secundae declinationis.

1. Ὁ διδάσκαλος λέγει. 2. Ἀκούομεν τὸν τοῦ διδασκάλου λόγον. 3. Πιστεύομεν τῷ διδασκάλῳ. 4. Οἱ μαθηταὶ στέργουσι τὸν διδάσκλον. 5.Ὦ διδάσκαλε, ἐθέλομεν μανθάνειν σπουδαίως. 6. Οἱ διδάσκαλοι φροντίζουσι τῶν μαθητῶν. 7. Οἱ μαθηταὶ πιστεύουσι τοῖς διδασκάλοις. 8. Στέργετε καὶ θεραπεύετε τοὺς διδασκάλους· οἱ γὰρ διδάσκαλοι φίλοι εἰσὶν τῶν νέων. 9. Μανθάνετε, ὦ νέοι· φεύγει γὰρ ὁ χρόνος. 10. Μὴ φεύγετε τὸν πόνον· ὁ γὰρ πόνος κόσμος ἐστὶ τοῦ τῶν ἀνθρώπων βίου. 11. Μακρὰ καὶ χαλεπὴ ἐστιν ἡ τῆς ἀρετῆς ὁδός. 12. Μεταξὺ τῆς Ἀσίας καὶ τῆς Εὐρώπης πολλαί εἰσι νῆσοι. 13. Οἱ ἄνθρωποι καὶ ἐν τῇ ἠπείρῳ καὶ ἐν ταῖς νήσοις τὰς οἰκίας ἔχουσιν.

5,1

1. Ὁ ἄνθρωπος νοῦν ἔχει, τῷ δὲ νῷ διαφέρει τῶν ἄλλων ζῴων. 2. Τοὺς τῶν ἀνθρώπων νοῦς ἐκ τῶν λόγων γιγνώσκομεν. 3. Ἁπλοῦς μὲν γὰρ ὁ τοῦ δικαίου ἀνθρώπου λόγος, διπλοῖ δ᾽

οἱ τοῦ ἀδίκου λόγοι. 4. Τοῖς μὲν εὔνοις πίστευε, φυλάττου δὲ τοὺς κακόνους. 5. Μέταλλά ἐστιν ὁ χρυσὸς καὶ ὁ ἄργυρος καὶ ὁ χαλκὸς καὶ ὁ σίδηρος. 6. Τὰ μὲν τῶν στρατιωτῶν ὅπλα ἦν χαλκᾶ ἡ σιδηρᾶ, τὰ δὲ τῶν στρατηγῶν πολλάκις ἀργυρᾶ ἢ χρυσᾶ. 7. Τὰ μὲν δένδρα γιγνώσκεις ἐκ τῶν καρπῶν, τοὺς δ᾽ ἀνθρώπους ἐκ τῶν ἔργων. 8. Καὶ τοῖς θηρίοις ἔστι μνήμη. 9. Ἐν τῷ κινδύνῳ δεῖ τοῖς ἀνθρώποις βοήθειαν φέρειν.

## 6 Indicativus, imperativus et infinitivus praesentis medii et passivi.

1. Τίς ἀγορεύειν βούλεται; 2. Ὦ πολῖται, πείθεσθε τοῖς νόμοις. 3. Μὴ ἐθίζου ψεύδεσθαι. 4. Πορευόμεθα εἰς ’Αθήνας. 5. Τρεφόμεθα τοῖς τῶν ἀγρῶν καὶ τῶν δένδρων καρποῖς. 6. Ὁ φίλος γιγνώσκεται ἐν τῷ κινδύνῳ. 7. Στέργω τοὺς φίλους καὶ στέργομαι ὑπὸ τῶν φίλων. 8. Ἡ στρατιὰ μάχεται τοῖς πολεμίοις ἀνδρείως. 9. Οἱ νέοι ὑπὸ τῶν διδασκάλων παιδεύονται. 10. Χρὴ βουλεύεσθαι πρὸ τοῦ ἔργου. 11. Ὦ νέοι, μανθάνετε σπουδαίως καὶ πείθεσθε τοῖς διδασκάλοις.

## 7 Imperfectum activi. Augmentum syllabicum.

1. Πολλάκις ἐθαυμάζομεν τὴν τῶν Σπαρτιατῶν ἀνδρείαν. 2. Ἀεὶ ἐπιστεύομεν τοῖς φίλοις. 3. Οἱ στρατηγοὶ συνέλεγον τὴν στρατιὰν ἐπὶ τοὺς πολεμίους. 4.Αἱ νεφέλαι ἐκάλυπτον τὸν οὐρανόν. 5. Ἡ ἀδελφὴ ἔπεμπε τὸν ἀδελφὸν εἰς τὴν ἀγοράν. 6. Οἱ στρατιῶται ἔφερον πόνους γενναίως. 7. Ὁ μαθητὴς οὐκ ἔπαυε μανθάνειν σπουδαίως. 8. Ἀεὶ οἱ διδάσκαλοι ἐδίδασκον καὶ ἐπαίδευον τοὺς μαθητάς. 9. Οἱ πολῖται ἐφύλαττον ἀεὶ τὴν χώραν καὶ νῦν φυλάττουσιν. 10. Ὁ ἀδελφὸς τὴν ἀδελφὴν ἔστεργε καὶ ἐθεράπευεν.

## 8 Imperfectum activi. Augmentum temporale.

1. Οἱ Ἀθηναῖοι τὴν μοναρχίαν καὶ τὴν ὀλιγαρχίαν ὠνείδιζον. 2. Ἠκούομεν τὴν τοῦ φίλου ᾠδήν. 3. Ἐν ταῖς Θερμοπύλαις ἦν μάχη τῶν Σπαρτιατῶν πρὸς τοὺς Πέρσας. 4. Ἐν τῷ πρὸς τοὺς Πέρσας πολέμῳ οἱ Σπαρτιᾶται σύμμαχοι ἦσαν τῶν ’Αθηναίων. 5. Τῶν Περσῶν ἦρχον δεσπόται. 6. Οἱ Σκύθαι τοῖς θεοῖς οὔτε βωμοὺς οὔθ᾽ ἱερὰ ἵδρυον. 7. Ὁ στρατηγὸς τοὺς στρατιώτας εἰς τὴν μάχην παρώξυνεν. 8. Ὁ ἀδελφὸς ἀεὶ ἔλεγε τὴν ἀλήθειαν, καὶ οἱ φίλοι ἀεὶ ἤκουον τοῦ ἀδελφοῦ. 9. Ἐθέλομεν γυμνάζεσθαι καὶ ἥκομεν εἰς τὸ γυμνάσιον.

### 8,1 Περὶ τῶν Μουσῶν.

Οἱ παλαιοὶ ἐθεράπευον τὰς Μούσας, τῆς ᾠδῆς καὶ τῆς μουσικῆς καὶ τῆς σοφίας θεάς. Ἐνόμιζον δὲ τὰς τῶν Μουσῶν οἰκίας ἐν ταῖς τοῦ Παρνασσοῦ κορυφαῖς εἶναι ἐγγὺς τῶν Δελφῶν. Ἦσαν δ᾽ ἐννέα Μοῦσαι τὸν ἀριθμόν· τῶν δὲ Μουσῶν ἡ μὲν Μελπομένη τῆς τραγῳδίας θεὰ ἦν, ἡ δὲ Θάλεια τῆς κωμῳδίας, ἡ δὲ Τερψιχόρα τῆς χορείας. Τὰ δὲ τῶν Μουσῶν ἱερὰ οἱ παλαιοὶ ὠνόμαζον Μουσεῖα.

### 8,2 Περὶ ’Αθηνᾶς καὶ Ἑρμοῦ

Ἐν τῇ ’Αττικῇ γῇ πολλὰ ἦν τῆς ’Αθηνᾶς καὶ τοῦ Ἑρμοῦ ἱερά. Ἡ μὲν ’Αθηνᾶ τῆς σοφίας καὶ τῶν τέχνῶν, ὁ δ᾽ Ἑρμῆς τῆς ἀγορᾶς θεός ἦν. Οὐδὲ τὸν πόλεμον ἔφευγεν ἡ ’Αθηνᾶ, παρῆν

γὰρ ἐν τῇ μάχῃ τοῖς φίλοις, ὁ δ᾽ Ἑρμῆς ἔπεμπε τοῖς ἀνθρώποις ὕπνον καὶ τοὺς νεκροὺς ἐκ τῆς γῆς εἰς Ἅιδου ἦγεν. Τῆς ᾽Αθηνᾶς δῶρον ἦν ἐλάα, τὸν δ᾽ Ἑρμῆν οἱ ποιηταὶ τῆς λύρας εὑρετὴν εἶναι ἐνόμιζον.

### 9 Adiectiva на ος, α, ον і ος, η, ον.

1. Καλὸς ἦν ὁ τῶν Σπαρτιατῶν ἐν ταῖς Θερμοπύλαις θάνατος. 2. Μακρὰ καὶ χαλεπή ἐστιν ἡ τῆς ἀρετῆς ὁδός. 3. Βουλόμεθα μανθάνειν τὴν Ἑλληνικὴν γλῶτταν. 4. Πολλάκις πικρὸν φάρμακον τοῖς ἀνθρώποις τὸν βίον σῴζει. 5. Πιστὸς καὶ ἀληθινὸς φίλος ἡδονή ἐστι τοῦ βίου. 6. Πιστὸν καὶ ἀληθινὸν φίλον μᾶλλον βούλομαι ἢ πλοῦτον. 7. Κακὸν φέρουσι καρπὸν οἱ κακοὶ φίλοι. 8. Ὁ ἀγαθὸς τῷ ἀγαθῷ μόνος φίλος. 9. Ὁ πόλεμος τοῖς ἀνθρώποις πολλῶν κακῶν αἴτιός ἐστιν. 10. Πολλάκις μικραὶ ἡδοναὶ μακρὰς λύπας φέρουσιν. 11. Καὶ οἱ σοφοὶ καὶ οἱ μῶροι ἐκ τῶν λόγων γιγνώσκονται. 12. Δικαίων ἔργα δίκαια. 13. Μὴ ἐν πολλοῖς ὀλίγα λέγε, ἀλλ᾽ ἐν ὀλίγοις πολλά.

### 10 Participium praesentis medii et passivi.

1. Ἡ στρατιὰ διὰ τῆς ἐρημίας πορευομένη πολλοὺς ἔφερε πόνους. 2. Τῷ βουλομένῳ οὐδὲν χαλεπόν ἐστιν. 3. Ὀργιζόμενος μὴ κόλαζε. 4. Τὸ τέκνον κλαίει κολαζόμενον. 5. Τὰ λεγόμενα οὐκ ἀεὶ πιστά ἐστίν. 6. ᾽Αγαθοί εἰσιν οἱ τοῖς νόμοις πειθόμενοι. 7. Οἱ στρατιῶται ἐμάχοντο ἅμα πορευόμενοι. 8. Οἱ τοῖς νόμοις μὴ πειθόμενοι ὑπὸ τῶν δικαστῶν κολάζονται.

### 11 Adiectiva на ος, ον.

1. Ἡ μὲν σπουδὴ τῷ ἀνθρώπῳ ὠφέλιμός ἐστιν, ἡ δὲ ῥᾳθυμία βλαβερά. 2. Ἡ στρατιὰ διὰ τῆς πολεμίας πορευομένη ἄθυμος



ἦν, ἄβατος γὰρ ἦν χώρα. 3. Τοὺς μὲν δικαίους οἱ ἄνθρωποι στέργουσι, τοὺς δ᾽ ἀδίκους κολάζουσιν. 4. Τῶν ἀνθρώπων οἱ μὲν ἀγαθοὶ καὶ χρηστοί εἰσιν, οἱ δὲ κακοὶ καὶ πονηροί· καὶ οἱ μὲν δίκαιοι, οἱ δ᾽ ἄδικοι, οἱ μὲν φιλόπονοι, οἱ δὲ ῥᾴθυμοι, οἱ μὲν φρόνιμοι, οἱ δ᾽ ἀνόητοι. 5. Παντοῖα δ᾽ ἐστὶ καὶ τὰ τῶν ἀνθρώπων ἔργα· τὰ μὲν γὰρ καλά ἐστι, τὰ δ᾽ αἰσχρά, τὰ μὲν γὰρ ὠφέλιμα, τὰ δὲ βλαβερά. 6. Διώκετε, ὦ νεανίαι, τὰ καλὰ καὶ ἀγαθά, φεύγετε δὲ τὰ κακὰ καὶ αἰσχρά.

### 12 Imperfectum medii et passivi.

1. Ἐπειθόμην ταῖς τῶν φίλων βουλαῖς. 2. Κῦρος, ὁ τοῦ Καμβύσου, ἐν τοῖς Πέρσαις ἐπαιδεύετο. 3. Οἱ προδόται ἀεὶ θανάτῳ ἐκολάζοντο ὑπὸ τῶν πολιτῶν. 4. Ὦ στρατιῶται,

ἀνδρείως ἐμάχεσθε τοῖς πολεμίοις καὶ ἐφέρετε τοὺς τοῦ πολέμου κινδύνους. 5. Ἡ χώρα ἀεὶ ἐφυλάττετο ὑπὸ τῆς στρατιᾶς. 6. Οἱ κακοῦργοι εἰς τὸ δεσμωτήριον ἀπήγοντο. 7. Ἐβουλόμεθα, ὦ πολῖται, στρατεύεσθαι ἐπὶ τὸν τύραννον· οὐ γὰρ ἐθέλομεν τῷ τυράννῳ δουλεύειν. 8. Ὁ διδάσκαλος ὑπὸ τῶν μαθητῶν ἐστέργετο.

## 13 Declinatio III. Основи на ρ і ν. Singularis.

1. Τοῦ μὲν ῥήτορός ἐστι τοῖς πολίταις περὶ τῶν κοινῶν συμβουλεύειν, τοῦ δ᾽ ἡγεμόνος τὴν στρατιὰν ἐπὶ τοὺς πολεμίους ἄγειν. 2. Τῷ μὲν ῥήτορι ἡ σωφροσύνη πρέπει, τῷ δ᾽ ἡγεμόνι ἡ ἀνδρεία καὶ ἐμπειρία. 3. Ὦ ῥῆτορ, τὸν ῥήτορα δεῖ ἀεὶ χρηστὰ καὶ ὠφέλιμα συμβουλεύειν τοῖς πολίταις . 4. Τὸ ἔαρ τοῖς ἀνθρώποις ἡδονὴν φέρει. 5. Τὸ πῦρ τοῖς Πέρσαις ἱερὸν ἦν. 6. Τὸν μὲν χρυσὸν ἐν τῷ πυρὶ γιγνώσκομεν, τοὺς δὲ φίλους ἐν τοῖς κινδύνοις. Παροιμία ἐστίν· χεὶρ χεῖρα νίζει.



## 14 Declinatio III. Основи на ρ і ν. Pluralis.

## Adiectiva на ων, ον.

1. Πολλοὶ καὶ ἔνδοξοι ῥήτορες ἦσαν ἐν ’Αθήναις 2. Τῶν ἐν ’Αθήναις ῥητόρων οἱ μὲν χρηστὰ καὶ ὠφέλιμα συνεβούλευον τοῖς πολίταις, οἱ δὲ πρὸς ἡδονὴν τοῦ δήμου ἔλεγον. 3. Οἱ ’Αθηναῖοι πολλάκις οὐ τοῖς χρηστοῖς, ἀλλὰ τοῖς κακοῖς ῥήτορσιν ἐπίστευον. 4. Δεῖ τοὺς ῥήτορας εἰς τὴν σωτηρίαν τῶν πολιτῶν βλέπειν. 5. Ἐν τοῖς ἀγῶσι περιεγίγνοντο οἱ Ἕλληνες τῶν βαρβάρων· εἶχον γὰρ σώφρονας καὶ τοῦ πολέμου ἐμπείρους ἡγεμόνας. 6. Οὐκ ἀεὶ εὐδαίμονες οἱ σώφρονες.

### 14.1 Περὶ ᾿Αρίονος.

’Αρίων ὁ κιθαρῳδὸς φίλος ἦν Περιάνδρῳ, σώφρονι καὶ εὐδαίμονι τῆς Κορίνθου τυράννῳ. Ὁ μὲν οὖν Περίανδρος πέμπει τὸν ’Αρίονα εἰς τὴν Ἰταλίαν, ὁ δὲ κιθαρῳδὸς συλλέγει πολλοὺς θησαυρούς· πολλάκις γὰρ ἆθλον τῶν μουσικῶν ἀγώνων ἐφέρετο. Ὡς δὲ μετὰ πολλοὺς μῆνας εἰς Κόρινθον πάλιν ἐπορεύετο, ναῦται Κορίνθιοι τὸν μὲν ’Αρίονα εἰς τὴν θάλατταν ῥίπτουσι, τοὺς δὲ τοῦ κιθαρῳδοῦ θησαυροὺς ἁρπάζουσιν. ’Αλλ᾽ οὐ φεύγουσι δίκην· ὁ γὰρ ’Αρίων σῴζεται ὑπὸ δελφῖνος εἰς Κόρινθον, οἱ δὲ ναῦται ὑπὸ τοῦ Περιάνδρου θανάτῳ κολάζονται.

## 15 Гортанні і губні основи.

1. Τοῖς Ἕλλησιν ἀρχὴν τῆς μάχης ἐσήμαινεν ὁ κῆρυξ τῇ σάλπιγγι. 2. Ἡ τοῦ κήρυκος σάλπυγξ ἦν χαλκῆ ἢ ἀργυρᾶ. 3. Αἱ τῆς ἀλώπεκος τρίχες ἐρυθραί εἰσιν. 4. Τῶν στρατιωτῶν οἱ μὲν ὁπλῖται ἐμάχοντο ἐν ταῖς φάλαγξιν, οἱ δὲ γυμνῆται πρὸ τῶν φαλάγγων. 5. Χρὴ τὸν ἄνθρωπον ὅμοιον εἶναι τῷ φιλοπόνῳ μύρμηκι. 6. Ἐν ταῖς ’Αθήναις πολλαὶ γλαῦκες

ἐτρέφοντο, ἡ γὰρ γλαῦξ τῆς ’Αθηνᾶς ἱερὰ ἦν· παροιμία οὖν ἦν· γλαῦκα εἰς ’Αθήνας. 7. Ὑπὸ τῶν Ἀράβων καλοὶ ἵπποι ἐτρέφοντο. 8. Μὴ πίστευε κόλαξιν. 9. Ἡ παροιμία λέγει κακοῦ κόρακος κακὸν ᾠόν.

## 16 Indicativus et infinitivus futuri activi et medii. Verba pura et muta.

1. Οὐ πιστεύσω τῷ ψεύστῃ. 2. ’Ανδρεία στρατιὰ εἰς φυγὴν τρέψει τοὺς πολεμίους. 3. Τὸν ξένον ἡδέως δεξόμεθα καὶ θεραπεύσομεν. 4. Λέξομεν ἀεὶ τὴν ἀλήθειαν. 5. Ἄιδετε καὶ ἀκούσομεν τὴν ᾠδήν. 6. Οἱ ἀγαθοὶ πολῖται ἀεὶ πείσονται τοῖς νόμοις. 7. Οἱ διδάσκαλοι παιδεύσουσι τοὺς νέους. 8. Εἰ οἱ πολέμιοι λύσουσι τὴν εἰρήνην, συλλέξομεν τὴν στρατιὰν καὶ στρατευσόμεθα ἐπὶ τοὺς πολεμίους. 9. Αὔριον ἥξομεν εἰς τὸ γυμνάσιον καὶ γυμνασόμεθα.

## 17 Indicativus et infinitivus aoristi I activi . Verba pura et muta.

1. Δαρεῖος ἐστράτευσεν ἐπὶ τοὺς Σκύθας. 2. Οἱ πολέμιοι ἔλυσαν τὴν εἰρήνην. 3. Ἔπραξα, ὅτι ἐκέλευσας. 4. Οἱ ποιηταὶ τοὺς Ἕλληνας παιδεῦσαι λέγονται. 5. Ξέρξης ἐπὶ τοὺς Ἕλληνας στρατεῦσαι βουλόμενος ἀναρίθμητον στρατιὰν συνέλεξεν. 6. Θουκυδίδης συνέγραψε τὸν τῶν ’Αθηναίων καὶ Λακεδαιμονίων πόλεμον. 7. Ὁ ἀδελφὸς πολλὰ καὶ λαμπρὰ δῶρα τῇ ἀδελφῇ ἔπεμψεν. 8. Ἐπιστεύσαμεν τῷ ψεύστῃ καὶ νῦν κακῶς πράττομεν. 9. Οἱ στρατηγοὶ τὴν τῶν πολεμίων κραυγὴν ἤκουσαν.

### 17.1 Κόραξ καὶ ἀλώπης.

Κόραξ τυρὸν ἔκλεψε καὶ ἐφ᾽ ὑψηλοῦ δένδρου κατήσθιεν. Ἀλώπηξ δ᾽ ὡς τὸν κόρακα ἐκ τῆς γῆς ἔβλεψεν, "ὦ κόραξ", ἔφη, "ὡς καλὴν ἔχεις μορφήν· εἰ δὲ καὶ φωνὴν ὁμοίαν ἔχεις τῇ μορφῇ, ἄξιος σὺ ἄρχειν οὐ



μόνον τῶν ἄλλων κοράκων, ἀλλὰ καὶ γυπῶν καὶ ἀετῶν". Ὁ οὖν κόραξ, ὡς ἤκουσε τὸν ἔπαινον τῆς ἀλώπεκος, φωνὴν ἐξέπεμψεν· ἅμα δ᾽ ὁ τυρὸς ἐκπίπτει αὐτῷ εἰς τὴν γῆν. Τότε δ᾽ ἀλώπηξ τὸν μὲν τυρὸν εὐθὺς ἁρπάζει, τὸν δὲ κόρακα προσαγορεύει. "Ὦ κόραξ, φωνὴν μὲν ἔχεις, νοῦν δ᾽ οὔ". Οἱ γὰρ σοφοὶ οὐ πιστεύουσι τοῖς κόλαξιν.

## 18 Зубні основи.

1. Ἡ ἐλπὶς σφάλλει μὲν πολλάκις, ἀπολείπει δ᾽ οὐδέποτε τὸν ἄνθρωπον. 2. Καλόν ἐστιν ὑπὲρ τῆς πατρίδος μάχεσθαι καὶ ἐν τῇ μαχῃ ἀποθνῄσκειν. 3. Ἡ Ἑλλὰς πατρίς ἐστι πολλῶν καὶ ἐνδόξων ποιητῶν. 4. Τῇ πατρίδι ὀφείλουσιν οἱ πολῖται πολλὰ ἀγαθά· χρὴ τοὺς πολίτας στέργειν τὴν πατρίδα. 5. Αἱ ὑψηλαὶ τῶν Αἰγυπτίων πυραμίδες θαυμάσιαί εἰσιν. 6. Οἱ

Πέρσαι ἐκ παίδων ἐμάνθανον τὴν δικαιοσύνην. 7. Οἱ τῶν Ἑλλήνων στρατιῶται ἐν μὲν τοῖς ποσὶ κνημῖδας, ἐν δὲ ταῖς χερσὶν ἀσπίδα καὶ ἀκόντια εἶχον. 8. Πολλοῖς θηρσὶν ἐν τοῖς ποσίν ἐστιν ἡ σωτηρία. 9. Τίς οὐ στέργει τοὺς παῖδας; 10.῏Ω παῖ, τοῖς παισὶ πρέπει σιγή.

**18.1 Περὶ τῆς τῶν ᾿Αθηναίων ἀχαριστίας.**

Παροιμία ἐστί· χάρις χάριν, ἔρις δ᾿ ἔριν τίκτει. Πολλοὶ δ᾿ ἄνθρωποι οὐ μόνον ἀμνήμονές εἰσι τῆς χάριτος, ἀλλὰ καὶ βλάπτουσι πολλάκις τοὺς εὐεργέτας. Μάλιστα δ᾿ ἀχάριστοι ἦσαν οἱ ᾿Αθηναῖοι· ἀνδρείους γὰρ καὶ χρηστοὺς πολίτας ἐκ τῆς πατρίδος ἐξέβαλλον, οἷον ᾿Αριστείδην καὶ Μιλτιάδην καὶ Κίμωνα καὶ ἄλλους πολλούς, οἱ τὴν πατρίδα πλεῖστα ὠφέλησαν.



**19 Neutra з основою на τ.**

1. Τὸ τοῦ ἀνθρώπου σῶμα θνητόν ἐστιν. 2. Τὸ ἱμάτιον τοῦ σώματος κόσμος ἐστίν. 3. Οἱ ἡγεμόνες ἄγουσι τὸ στράτευμα ἐπὶ τοὺς πολεμίους. 4. Ἡ τῶν ἡγεμόνων διαφορὰ κινδύνους φέρει τῷ στρατεύματι. 5. Νοῦς τίκτει χρήματα, ἀλλ᾿ οὐ χρήματα νοῦν. 6. Τὰ μαθήματα τοὺς νέους ἀποτρέπει πολλῶν ἁμαρτημάτων.

**19.1 Περὶ τῆς τῶν ᾿Αθηναίων παιδείας.**

Οἱ ᾿Αθηναῖοι τῆς παιδείας μάλιστα φροντίσαι λέγονται. Οἱ τῶν ᾿Αθηναίων παῖδες πρῶτον μὲν τὰ γράμματα ἐμάνθανον, ἔπειτα δ᾿ ἀνεγίγνωσκον ποιήματα ἐνδόξων ποιητῶν, μάλιστα δὲ τὰ τοῦ Ὁμήρου. Ἐμάνθανον δὲ καὶ τὴν μουσικὴν καὶ ἄλλα ὠφέλιμα μαθήματα, τὰ δὲ σώματα ἐν τοῖς γυμνασίοις ἐγύμναζον. Ἦγον δὲ τοὺς παῖδας εἰς τὸ γυμνάσιον καὶ εἰς διδασκάλου οἱ παιδαγωγοί.

**20 Основи на ντ, κτ.**

1.Δικαίου ἄρχοντός ἐστι φυλάττειν τοὺς νόμους. 2.Χρὴ τοὺς πολίτας τῷ ἄρχοντι πείθεσθαι. 3. Ἐξ ὄνυχος λέοντα γιγνώσκομεν. 4. Πολλοὶ οἴκοι μέν εἰσι λέοντες, ἐν μάχῃ δ᾿ ἀλώπεκες. 5. Πολλά ἐστι τὰ Ξενοφῶντος συγγράμματα. 6. Ἡ τῶν Σπαρτιατῶν γερουσία γερόντων ἦν βουλή. 7. Τοῖς γέρουσι ἐν τῇ ἐκκλησίᾳ πρέπει ὁ λόγος, τοῖς δὲ νεανίαις ἡ σιγή. 8. Τοῖς λέουσι καὶ τοῖς ἐλέφασι δεινὴ ῥώμη ἐστίν. 9. Οἱ Αἰθίοπες ἐθήρευον τοὺς ἐλέφαντας τῶν ὀδόντων ἕνεκα.

**20.1 Περὶ τῆς Αἰγύπτου.**

Ἐν τῇ Αἰγύπτῳ μεταξὺ τῶν τοῦ Νείλου ποταμοῦ στομάτων ἐστὶ τὸ Δέλτα, τὸ τοῦ Νείλου δῶρον, ὡς Ἡρόδοτος λέγει τὸ δὲ ὄνομα ἔχει ἀπὸ

τοῦ Ἑλληνικοῦ γράμματος, τοῦ δέλτα. Ἡ δὲ Αἴγυπτος μεστή ἐστι παντοίων μνημάτων, ἐγγὺς γὰρ τῆς Μέμφιδος καὶ τοῦ Νείλου ποταμοῦ αἱ πυραμίδες εἰσίν, αἱ λίθιναι τῶν ἀρχόντων θῆκαι, ἐν δὲ ταῖς Θήβαις θαυμάσια ἱερὰ καὶ σφίγγες καὶ ἀγάλματα καὶ στῆλαι. Ἐν δὲ τοῖς ἱεροῖς παντοῖαι γραφαί εἰσι καὶ ἀγάλματα τῶν θεῶν· τὰ δ᾽ ἀγάλματα ἔχει τὸ μὲν σῶμα ἀνθρώπου, τὴν δὲ κεφαλὴν ἀνθρώπου ἢ θηρός. Αἱ δὲ σφίγγες εἰσὶ λίθιναι καὶ τὸ μὲν σῶμα λέοντος, τὴν δὲ κεφαλὴν ἀνθρώπου ἔχουσιν. Αἱ δὲ λίθιναι στῆλαι μεσταί εἰσιν ἱερῶν γραμμάτων καὶ γραφῶν· τὰ δὲ γράμματα μηνύει τὰ τῶν ἀρχόντων ἔργα.

## Participium praesentis, futuri et aoristi I activi.

1. Νέστωρ ἤδη γέρων ὢν σὺν τοῖς Ἕλλησιν ἐπὶ τὴν Τροίαν ἐστράτευσεν. 2. Οὐχ ὁ πολλά, ἀλλ᾽ ὁ σοφὰ λέγων καλῶς λέγει. 3. Μαθηταὶ ὄντες μανθάνετε σπουδαίως. 4. Οὐ χρὴ ἀποβλέπειν εἰς τοὺς λέγοντας, ἀλλ᾽ εἰς τὰ λεγόμενα. 5. Διδασκάλου λέγοντος ἡσυχίαν ἄγειν δεῖ τοὺς μαθητάς. 6. Καὶ τοὺς ἄρχοντας καὶ τοὺς ἀρχομένους χρὴ πείθεσθαι τοῖς νόμοις. 7. Φεῦγε ἡδονὴν φέρουσαν ὕστερον βλάβην. 8. Οἱ στρατιῶται στρατεύσονται ἐκλύσοντες τοὺς συμμάχους τοῦ κινδύνου. 9. Οἱ πολέμιοι λύσαντες τὴν εἰρήνην καὶ συλλέξαντες ἀναρίθμητον στρατιὰν ἐπὶ τοὺς Ἕλληνας ἐστράτευσαν.

## Ἑκών, ἄκων, πᾶς, ἅπας.

1.Πάσης τέχνης ἡ ἀρχὴ χαλεπή ἐστιν. 2. Λύπης ἁπάσης γίγνεται ἰατρὸς χρόνος. 3. Ἅπαντες ἔχομεν τὴν πατρίδα. 4. Ἐν τῇ ἡμετέρᾳ πατρίδι πάντες πολῖται μανθάνουσιν. 5. Πλάτων λέγει πάντα τὸν ἐπὶ τῆς γῆς καὶ ὑπὸ τῆς γῆς χρυσὸν οὐκ ἀντάξιον εἶναι τῆς ἀρετῆς. 6. Ἡ ἀναρχία πάντων κακῶν αἰτία ἐστίν. 7. Ἑκόντων μὲν ἄρχειν ῥᾴδιον, ἀκόντων δὲ χαλεπόν.



8. Πᾶσι τοῖς παισὶν ἡδονὴν παρέχει τὰ ὅπλα. 9. Δεῖ πάντας τοὺς μαθητὰς σπουδαίως μανθάνειν.

## Indicativus, infinitivus et participium aoristi I medii. Verba pura et muta.

1. Νυκτὸς γιγνομένης ἐπαύσαντο οἱ στρατιῶται μάχης καὶ φόνου. 2. Ὦ Λεωνίδα, ἀθάνατον τῷ θανάτῳ ἐκτήσω δόξαν. 3. Καλήν, ὦ στρατιῶται, ἐκτήσασθε δόξαν νικήσαντες καὶ εἰς φυγὴν τρέψαντες τοὺς πολεμίους. 4. Δαρεῖος ἐγγὺς ὢν τοῦ θανάτου μετεπέμψατο Κῦρον ἀπὸ τῆς Λυδίας, ἧς σατράπην ἐποίησεν αὐτόν. 5. Οὐ ῥᾴδιόν ἐστι πιστοὺς κτήσασθαι φίλους· κτησάμενοι οὖν θησαυρὸν ἔχειν νομίζετε. 6. Οἱ ’Αθηναῖοι ἐψηφίσαντο στρατεύεσθαι ἐπὶ τὸν Φίλιππον καὶ βοηθῆσαι τοῖς Ολυνθίοις. 7. Οἱ Ἕλληνες παρὰ τῶν παλαιῶν Φοινίκων ἐδέξαντο τὰ σημεῖα γράφειν. 8. Οἱ Λακεδαιμόνιοι τῶν ξυμπολεμησάντων Ἑλλήνων ἡγήσαντο.

## **Основи на** ρ (πατήρ, μήτηρ, θυγάτηρ).

## Θεράπευε τὸν πατέρα καὶ τὴν μητέρα.

Ἔχω πατέρα καὶ μητέρα. Χρὴ τοὺς παῖδας τὸν πατέρα καὶ τὴν μητέρα θεραπεύειν· οἱ γὰρ πατέρες καὶ αἱ μητέρες πάντα τὰ ἀγαθὰ παρέχουσι τοῖς υἱοῖς καὶ ταῖς θυγατράσιν. Ἡ μὲν γὰρ μήτηρ τρέφει καὶ φυλάττει τὰ τέκνα, ὁ δὲ πατὴρ πολλοὺς πολλάκις φέρει πόνους τῆς τροφῆς ἕνεκα καὶ τῆς παιδείας. Χάριν οὖν δεῖ τοὺς παῖδας ἔχειν τῷ τε πατρὶ καὶ τῇ μητρί. Ὡς δ' ἀγαθοὶ παῖδες κόσμος εἰσὶ τοῦ πατρὸς καὶ τῆς μητρὸς, οὕτως οἱ κακοὶ αἰσχύνην φέρουσι τοῖς τε πατράσι καὶ ταῖς μητράσιν.

Περσεφόνην, τῆς Δήμητρος θυγατέρα, Πλούτων λέγεται ἐκ τῆς γῆς ἁρπάσαι καὶ εἰς Ἅιδου κομίσασθαι.



**Основи на ς.**

1. Θνητόν ἐστι πᾶν τὸ ἀνθρώπων γένος. 2. Χρὴ ἐν πᾶσι πράγμασιν εἰς τὸ τέλος βλέπειν. 3. Ἐλπὶς κακοῦ κέρδους ἀρχή ἐστι τῆς πονηρίας. 4. Οὐ τῷ στρατιωτῶν πλήθει οὐδὲ τῷ τῶν τειχῶν ὕψει, ἀλλὰ τῇ ἀνδρείᾳ τὴν πατρίδα σῴζομεν. 5. Ἦν ποτε χρόνος, ὅτε τὰ τῶν ανθρώπων γένη οὐκ ἦν. 6. Ἐν τοῖς ὑψηλοῖς ὄρεσι διάγει πολλὰ θηρία. 7. Τὰ τῶν ἐθνῶν ἤθη παντοῖά ἐστιν. 8. Τὰ τῆς ἀληθείας ἔπη ἁπλᾶ ἐστιν. 9. Ἐν τοῖς λειμῶσι καλὰ ἄνθη εὑρίσκομεν καὶ λευκὰ καὶ ἐρυθρὰ καὶ ποικίλα. 10. Τὸ ψεῦδος τῇ ἀληθείᾳ ἐναντίον ἐστίν. 11. Τῷ μὲν ξίφει ἀποκτείνεις τὸ σῶμα, τῷ δὲ ψεύδει διαφθείρεις τὴν ψυχήν. 12. Οἱ ἄνθρωποι πολλάκις χειμῶνος μὲν βούλονται θέρος, θέρους δὲ χειμῶνα.

**Adiectiva на ης, ες.**

1. Παλαιά ἐστιν ἡ παροιμία· ὑγιὴς ψυχὴ ἐν ὑγιεῖ σώματι. 2. Ψευδές ἐστι πᾶν τὸ κολάκων γένος. 3. Εὐκλεοῦς πατρὸς οὐκ ἀεὶ εὐκλεὴς υἱός. 4. Εὐγενῶν πατέρων παῖδας εὐγενεῖς εἶναι νομίζομεν. 5. Οἴκτιρε, ὦ παῖ, τὸν ἀτυχῆ ἄνθρωπον. 6. Πολλοὶ μὲν εἰσιν οἱ τῶν εὐτυχῶν φίλοι, ὀλίγοι δ' οἱ τῶν δυστυχῶν. 7. Ὅμηρος ἦν εὐκλεὴς ποιητής. 8. Οἱ 'Αθηναῖοι πολλὰς τριήρεις εἶχον. 9. Χρὴ ἀεὶ τἀληθῆ λέγειν.

**Власні імена на ης, κλῆς.**

1. Δημοσθένης μὲν δεινὸς ῥήτωρ ἦν, Θεμιστοκλῆς δ' εὐκλεὴς στρατηγός. 2. Τοῦ μὲν Δημοσθένους θαυμάζομεν τοὺς λόγους, τοῦ δὲ Θεμιστοκλέους τὰ ἔργα. 3. Σωκράτης διὰ παντὸς τοῦ βίου τοὺς πολίτας εἰς ἀρετὴν προὔτρεπεν, οἱ δ' 'Αθηναῖοι οὐ μόνον οὐκ ἐπείθοντο Σωκράτει, ἀλλὰ καὶ θάνατον αὐτοῦ κατεψηφίσαντο. 4. Λαμπροί εἰσιν οἱ τοῦ Ἡρακλέους δώδεκα ἆθλοι, οἷς τὴν ἀθανασίαν πρὸς τῶν θεῶν ἐκτήσατο· οἱ γὰρ ποιηταὶ τὸν Ἡρακλέα οὐ μόνον γίγαντας καὶ φοβεροὺς



θῆρας φονεῦσαι λέγουσιν, ἀλλὰ καὶ Κέρβερον ἐξ Ἅιδου εἰς τὸ φῶς κομίσαι καὶ ἄλλα ἀδύνατα ἔργα ἐκτελέσαι.

## Neutra на ας

Περὶ τοῦ γήρως.

Ἀληθής ἐστιν ἡ γνώμη· χαλεπὸν τὸ γῆρας τοῖς ἀνθρώποις βάρος. Οὐ γὰρ μόνον τὸ κάλλος φθείρει καὶ τὴν τοῦ σώματος ῥώμην, ἀλλὰ καὶ ἐγγὺς τοῦ θανάτου ἐστίν, φοβεροῦ ὄντος πᾶσιν ἀνθρώποις. Ὅμως δὲ καὶ τοῦ γήρως οὐ μικρὰ ἀγαθά ἐστιν. Ἡ γὰρ σοφία καὶ σωφροσύνη καὶ ἐμπειρία τιμὴν καὶ κόσμον παρέχουσι τῷ γήρᾳ. Ὡς δὲ τοῖς νέοις ἡ σπουδή, οὕτω τοῖς γέρουσι φίλη ἐστὶν ἡ ἡσυχία. Ὀρθῶς οὖν τὸ μὲν γῆρας τῷ χειμῶνι, τὴν δὲ νεότητα τῷ ἔαρι παρεικάζομεν. Ἥσυχον καὶ εὔδαιμον γῆρας καλοῦ καὶ σώφρονος βίου γέρας ἐστίν.

## Основи на υ, ου, ω.

1. Ἐν τοῖς ποταμοῖς καὶ ἐν τῇ θαλάττῃ παντοῖοι ἰχθύες εἰσίν. 2. Τὸ μὲν τοῦ ἀνθρώπου αἷμα θερμόν ἐστι, τὸ δὲ τοῦ ἰχθύος ψυχρόν. 3. Αἱ νόσοι τὴν τοῦ σώματος ἰσχὺν φθείρουσιν. 4. Παλαιός ἐστιν ὁ μῦθος περὶ τῆς τῶν βατράχων καὶ μυῶν μάχης. 5. Ἵπποι καὶ βόες ὠφέλιμα θηρία ἐστὶ τοῖς ἀνθρώποις. 6. Οἱ Ἕλληνες ἔθυον τοῖς θεοῖς βοῦς, οἱ δὲ Σκύθαι ἵππους. 7. Ὁ ἀθλητὴς τῇ τοῦ σώματος ἰσχύι ἐπαίρεται.

## Περὶ τῆς ἡμετέρας χώρας.

Ἐν τῇ ἡμετέρᾳ χώρᾳ καὶ ποταμοί εἰσι μεστοὶ ἰχθύων καὶ ὗλαι πλήρεις θηρῶν· ἡ γῆ οὐ μόνον παντοίους καρποὺς φέρει, ἀλλὰ καὶ ἔνδον ἅλας καὶ χρυσὸν καὶ σίδηρον καὶ ἄλλα μέταλλα ἔχει. Ἔστι δὲ καὶ πεδία



καὶ ἄλση καὶ ὄρη ἱκανὰ τρέφειν καὶ ἵππους καὶ βοῦς καὶ οἶς καὶ σῦς. Πάντ᾽ οὖν ἔχομεν τὰ πρὸς βίον ἀναγκαῖα.

## Основи на ο

## Περὶ τῆς Νιόβης.

Νιόβῃ, τῇ τῶν Θηβαίων βασιλείᾳ, ἑπτὰ ἦσαν υἱὶ καὶ ἑπτὰ θυγατέρες· ὑπερήφανος δ᾽ ἦν διὰ τὸ πλῆθος καὶ τὸ κάλλος τῶν τέκνων. Ὅτ᾽ οὖν ποτε αἱ Θηβαῖαι Λητοῖ, τῇ Ἀπόλλωνος καὶ Ἀρτέμιδος μητρί, ἔθυον, ἐκώλυσεν αὐτὰς Νιόβη θεραπεύειν τὴν θεάν, δυοῖν μόνον παίδοιν μητέρα οὖσαν. ’Αλλ᾽ οὐ φεύγει δίκην· ἡ γὰρ Λητὼ τῇ Νιόβῃ ἀχθομένη ἐκέλευσε τὸν μὲν Ἀπόλλωνα τοὺς τῆς Νιόβης υἱούς, τὴν δ᾽ Ἀρτέμιδα τὰς θυγατέρας κατατοξεῦσαι. Τότε δὲ Νιόβη δακρύουσα· "Ὡς δεινῶς", ἔφη, "ὦ Λητοῖ, ἐκόλασας τὴν ἐμὴν ὑπερηφανίαν. Οἱ δὲ θεοὶ κατοικτίροντες τὸ τῆς Νιόβης πάθος μεταβάλλουσιν αὐτὴν εἰς λίθον.

## Основи на ι/ε, υ/ε.

1. Ἡ τῶν ’Αθηναίων πόλις ἐγγὺς τῆς θαλάττης ἦν, ἐναντία Σαλαμῖνι τῇ νήσῳ. 2. Οἱ ’Αθηναῖοι τὰς ’Αθήνας μόνας ὠνόμαζον ἄστυ. 3. Δημοσθένης λέγει τοὺς νόμους τῆς πόλεως ψυχὴν εἶναι. 4. Οἱ ἀνδρεῖοι στρατιῶται οὐ λείψουσιν ἐν τῇ μάχῃ τὴν τάξιν, ἀλλ᾽ ἢ νικήσουσιν ἢ τελευτήσουσι μένοντες ἐν τῇ τάξει. 5. Ξέρξης ἐπὶ τὴν Ἑλλάδα στρατευσόμενος πρέσβεις ἔπεμψε εἰς τὰς τῶν Ἑλλήνων πόλεις γῆν καὶ ὕδωρ αἰτήσοντας. 6. Ταῖς πόλεσιν αἱ μὲν στάσεις πολλὰ κακὰ φέρουσιν, ἡ δ᾽ ὁμόνοια δύναμιν καὶ εὐδαιμονίαν. 7. Μὴ ἐκ τῶν λόγων, ἀλλ᾽ ἐκ τῶν πράξεων τοὺς ἀνθρώπους κρίνετε· πολλάκις γὰρ αἱ πράξεις ἐναντίαι εἰσι τοῖς λόγοις.



## Περὶ τῆς τῶν ᾿Αθηναίων ἀκροπόλεως.

Ὥσπερ ἐν ἄλλαις πολλαῖς τῶν Ἑλλήνων πόλεσιν, οὕτω καὶ ἐν ταῖς ’Αθήναις ἀκρόπολις ἦν φύσει ἰσχυρά. Ἐν τῇ ἀκροπόλει ’Αθηνᾶς καὶ Ποσειδῶνος παλαιὰ ἦν ἱερά. ’Αθηνᾶ καὶ Ποσειδῶν ἤριζόν ποτε περὶ τῆς τῶν ’Αθηνῶν ἀρχῆς καὶ ἡ μὲν ’Αθηνᾶ ἐλάαν ἐφύτευσεν ἐν τῇ ἀκροπόλει, ὁ δὲ Ποσειδῶν ἁλμυρὸν ὕδωρ ἐκ τῆς γῆς ἀνέπεμψεν. Δικάσαντες δ᾽ οἱ ἄλλοι θεοὶ τό τε ἄστυ καὶ τὴν χώραν τῇ ’Αθηνᾷ ἐπεδίκασαν. Ὕστερον δὲ Περικλῆς ἐκόσμησε τὴν ἀκρόπολιν λαμπροῖς καὶ μεγαλοπρεπέσιν ἔργοις, οἷα ἦν τὰ Προπύλαια καὶ ὁ Παρθενὼν καὶ τὸ Ἐρέχθειον.

## Adiectiva на υς, εια, υ

1. Βραχύς μὲν ὁ βίος, ἡ δὲ τέχνη μακρά. 2. Καλὸς καὶ ἡδύς ἐστιν ὁ τῶν πολιτῶν βίος ἐν τῇ ἡμετέρᾳ χώρᾳ. 3. Πολλάκις βραχεῖα ἡδονὴ μακρὰν λύπην τίκτει. 4. Ὅμηρος τὸν Νέστορα γλυκὺν Πυλίων ἀγορητὴν προσαγορεύει. 5. Οὐκ ἀεὶ πείθει ὁ μακρὰ λέγων, πολλάκις δὲ καὶ βραχέος λόγου δεινή ἐστιν ἡ δύναμις. 6. Ταχὺς νοῦς πολλάκις ἐστὶν ἐν σώματι βραδεῖ. 7. Θαυμάζομεν τοὺς τῶν Ἀράβων ἵππους· ταχεῖς γάρ εἰσι καὶ ἰσχυροί. 8. Μὴ πίστευε τοῖς γλυκέσι κολάκων λόγοις. 9. Αἱ τῶν εὐρέων καὶ βαθέων ποταμῶν διαβάσεις οὐ ῥᾴδιαί εἰσιν. 10. ’Αρχὴ ἥμισυ παντός.

## Основи на ευ.

1. Θησεύς, ὁ "Αθηναίων βασιλεύς, Αἰγέως υἱὸς ἦν. 2. Ἀγαμέμνονος καὶ Ἀχιλλέως ἔρις τοῖς ’Αχαιοῖς δεινῶν κακῶν αἰτία ἦν. 3. Τὸν μὲν λέοντα λέγομεν βασιλέα τῶν θηρῶν, τὸν δ᾽ ἀετὸν βασιλέα τῶν ὀρνίθων. 4. Οἱ γονεῖς φροντίζουσι τῶν παίδων· χρὴ οὖν τοὺς παῖδας χάριν ἔχειν τοῖς γονεῦσιν. 5. Οἱ τῶν Περσῶν βασιλεῖς ἐστρατεύοντο ἐπὶ τοὺς



πολεμίους ἔχοντες ἐν τῷ στρατοπέδῳ οὐ μόνον ἱερέας, ἀλλὰ καὶ μάντεις καὶ ἑρμηνέας. 6. Ἐν τοῖς παλαιοῖς χρόνοις τοῖς τῆς Αἰγύπτου βασιλεῦσιν οὐ μόνον πολλοὶ δοῦλοι καὶ ἐργάται ἦσαν, ἀλλὰ καὶ χρήσιμοι ἀριθμητικοὶ καὶ γεωμέτραι καὶ τέκτονες.

## Περσεὺς φονεύει τὴν Μέδουσαν.

Περσεῖ ἐφήβῳ ὄντι ἐπέταξε Πολυδέκτης, ὅ τροφεὺς αὐτοῦ, τὴν τῆς Μεδούσης κεφαλὴν κομίσαι. Ἦν δ᾽ ἡ Μέδουσα μόνη τῶν Γοργόνων θνητή. Εἶχον δ᾽ αἱ Γοργόνες ὄφεις ἀντὶ τριχῶν, ὀδόντας δ᾽ ὡς συῶν, χεῖρας δὲ χαλκᾶς, πτέρυγας δὲ χρυσᾶς. Ἡ δὲ τῶν Γοργόνων ὄψις τὸν προσβλέποντα εἰς λίθον μετέβαλλεν. Οὐ ῥᾴδιον οὖν ἦν τὸ τοῦ Περσέως ἔργον· ὅμως δὲ τὴν Μέδουσαν ἐφόνευσεν. Ἡ μὲν γὰρ ᾽Αθηνᾶ παρεῖχεν αὐτῷ θείαν ἀσπίδα, ὁ δ᾽ Ἑρμῆς κράνος, ὃ αὐτὸν ἠφάνιζεν. Ἐκόμισεν οὖν τῷ Πολυδέκτῃ τὴν κεφαλὴν αὐτῆς, ἣν ᾽Αθηνᾶ τῇ ἀσπίδι προσάψαι ἐλέγετο.

## Substantiva anomala.

### α) ἀνήρ, γυνή.

1. Ἐν τῇ ἀρχαίᾳ Ἑλλάδι ὁ μὲν ἀνὴρ ἔπραττε τὰ τῆς πόλεως, ἡ δὲ γυνὴ ἐφρόντιζε τοῦ οἴκου καὶ τῶν τέκνων. 2. Πᾶς Σπαρτιατῶν ἀνὴρ ἦν στρατιώτης. 3. Ἄλλη μέν ἐστιν ἡ τοῦ ἀνδρὸς φύσις, ἄλλη δ᾽ ἡ τῆς γυναικός. 4. Ὦ ἄνερ, φύλαττε τὴν πόλιν. 5. Οἱ δίκαιοι καὶ ἐσθλοὶ ἄνδρες ἀεὶ τἀληθῆ λέγουσιν. 6. Ἡ τῶν ἀνδρῶν ἀνδρεία ἀγαθὸν ἄστεως τεῖχος εἶναι λέγεται. 7. Ἡ ἀρετὴ φέρει τιμὴν τοῖς ἀνδράσιν. 8. Ἐν τοῖς Λίβυσι ἀνὴρ μὲν ἀνδρῶν βασιλεῦσαι λέγεται, γυνὴ δὲ γυναικῶν. 9. Αἱ Ἀμαζόνες γυναῖκες μὲν ἦσαν, ἀνδρῶν δ᾽ εἶχον τὴν ἀρετὴν. 10. Οἱ βάρβαροι πόλιν ἐκπολιορκήσαντες τοὺς μὲν ἄνδρας ἀπέκτεινον, τὰς δὲ γυναῖκας καὶ τοὺς παῖδας εἰς δουλείαν ἦγον.



### β) Ἄρης, Ζεύς, υἱός, ναῦς.

1. Οἱ τῶν Ῥωμαίων ποιηταὶ Ἄρεως υἱὸν λέγουσιν εἶναι τὸν Ῥωμύλον, ὁ δ᾽ Ἄρης παῖς ἦν Διός. 2. Τὸν Δία προσαγορεύει Ὅμηρος θεῶν καὶ ἀνδρῶν πατέρα. 3.Ὦ Ζεῦ, τὸ σὸν κράτος οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ θεοῖς φοβερὸν ἦν. 4. Τῆς νεὼς ἡγεμὼν ὁ κυβερνήτης ἐστίν. 5. Εἴ τις καλὸν μὲν ἔχει σῶμα, τὴν δὲ ψυχὴν κακήν, καλὴν μὲν ἔχει ναῦν, τὸν δὲ κυβερνήτην κακόν. 6.Ἡ τῶν ᾽Αθηναίων δύναμις οὐκ ἐν τῷ στρατεύματι ἦν, ἀλλ᾽ ἐν ταῖς ναυσίν. 7. Ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ ὀλίγαι μὲν ἦσαν τῶν Ἑλλήνων νῆες, πολλαὶ δὲ τῶν Περσῶν. 8. Εὐπειθεῖς υἱεῖς ἡδονὴ εἰσι τῶν γονέων.

### γ) δόρυ, γόνυ, κύων, οὖς.

1. Ὅμηρος λέγει, ὅτι τὰ μέλλοντα ἐν τοῖς τοῦ Διὸς γόνασι κεῖται. 2. ᾽Αχιλλεὺς δόρατι κατέσφαξε τὸν Ἕκτορα. 3. Ἦν Κύρῳ τὸ σημεῖον ἀετὸς χρυσοῦς ἐπὶ δόρατος μακροῦ. 4. Τὸν τοῦ κυνὸς νοῦν πολλάκις θαυμάζομεν. 5. Ὥσπερ λύκος ὅμοιος κυνί, οὕτω κόλαξ ὅμοιος φίλῳ. 6. Φυλάττεσθε, ὦ παῖδες, χαλεποὺς κύνας. 7. Τοῦ μὲν ἵππου τὰ ὦτα βραχέα ἐστί, τοῦ δ᾽ ὄνου μακρά.

### Περὶ τῆς τῶν κυνῶν πίστεως.

῎Ανδρα τινὰ πλούσιον κυνὶ συμπορευόμενον ἐφόνευσαν οἱ Πύῤῥου τοῦ βασιλέως στρατιῶται μαρτύρων οὐ παρόντων. Ἐπεὶ δ᾽ οἱ φονεῖς ἀπεχώρησαν, ἐφύλαττεν ὁ κύων τὸν τοῦ δεσπότου νεκρόν. Ὀλίγαις δ᾽ ἡμέραις ὕστερον ἐντυγχάνει τῷ νεκρῷ ὁ Πύῤῥος καὶ τὸν μὲν νεκρὸν κελεύει θάψαι, ὁ δὲ κύων ἕπεται τῷ βασιλεῖ εἰς τὸ στρατόπεδον. Μετὰ δ᾽ ὀλίγον χρόνον ἐξέτασις γίγνεται τῶν στρατιωτῶν· πάρεστι καὶ ὁ κύων. Νοήσας δὲ τοὺς τοῦ δεσπότου φονέας εὐθὺς μετ᾽ ὀργῆς ἐκτρέχει ἐπ᾽ αὐτούς, πολλάκις δ᾽ εἰς τὸν βασιλέα μεταστρεφόμενος κατήγορος γίγνεται



τοῦ φόνου. Συλλαμβάνονται οὖν οἱ φονεῖς κελεύοντος τοῦ βασιλέως καὶ θανάτῳ κολάζονται.

## Περὶ ᾽Αρτεμισίας.

᾽Αρτεμισία, ἡ τῆς Ἁλικαρνασσοῦ βασίλεια, ἐστρατεύσατο μετὰ Ξέρξου ἐπὶ τοὺς Ἕλληνας· ἐν δὲ τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ καλὰ τῆς ἀνδρείας παρείχετο τεκμήρια. Ἐπεὶ δ᾽ αἱ τῶν Ἑλλήνων νῆες τὰς τῶν Περσῶν ναῦς εἰς φυγὴν ἔτρεψαν καὶ ἐδίωκον, καὶ ἡ ᾽Αρτεμισία ἐν κινδύνῳ ἦν ὑπ᾽ ᾽Αττικῆς νεὼς διωκομένη· τῆς γὰρ φυγῆς ἐκώλυον αὐτὴν ἄλλαι φίλιαι νῆες ἔμπροσθεν οὖσαι. Τότε δ᾽ ἐμπίπτει ἡ βασίλεια φιλίᾳ νηὶ καὶ καταδύει αὐτήν· ὁ δὲ τριηράρχης τῆς ᾽Αττικῆς νεὼς νομίσας Ἑλληνίδα εἶναι τὴν τῆς ᾽Αρτεμισίας ναῦν ἐπαύσατο διώκων αὐτήν. Οὕτως ἔσωσεν ᾽Αρτεμισία τὸν βίον.

## Ἡρακλῆς δαμάζει τὸν Κέρβερον.

Πολλὰ καὶ θαυμάσια ἔργα Ἡρακλῆς ἔπραττεν. Ἓν δὲ ἔργον οἱ ἄνθρωποι μάλιστα ἐθαύμαζον. Λέγει γάρ ποτε αὐτῷ ὁ Εὐρυσθεύς· "Κατάβαινε εἰς τὸν Τάρταρον καὶ ἀνάφερε τὸν Κέρβερον".

Ὁ δὲ Κέρβερός ἐστι δεινὸν θηρίον τρικέφαλον καὶ φυλάττει τὸ τοῦ Ταρτάρου στόμιον. Ὁ δὲ Τάρταρος οἶκός ἐστι τῶν νεκρῶν. Πολλοὶ μὲν εἰσβαίνουσι διὰ τοῦ στομίου οὐδὲ κωλύει αὐτοὺς ὁ Κέρβερος, ἐκβαίνειν δὲ αὐτοὺς κωλύει διὰ τοὺς τῶν θεῶν νόμους.

Ἡρακλῆς δαμάζει τὸν Κέρβερον ἄνευ ὅπλων καὶ φέρει τὸ φοβερὸν θηρίον εἰς τὸ τοῦ κυρίου μέγαρον. Ὁ δὲ Εὐρυσθεύς, ὅτε βλέπει τὸ δῶρον, φεύγει καὶ κελεύει αὐτὸν τὸ θηρίον πάλιν φέρειν πρὸς τὸν Τάρταρον.



## Πολύς, μέγας.

1. Πολὺς ὕπνος οὐκ ὠφέλειαν, ἀλλὰ βλάβην φέρει τῷ ἀνθρωπίνῳ σώματι. 2. Πολλάκις ἀναλίσκουσιν οἱ ἄνθρωποι πολὺν χρόνον καὶ πολλὴν ἐπιμέλειαν εἰς τὰ μικρὰ καὶ ὀλίγου ἄξια. 3. Τῶν μαθητῶν οἱ μὲν ταχέως τὰ δέοντα μανθάνουσιν, οἱ δὲ μετὰ

πολλοῦ πόνου. 4. Οἱ ἄγγελοι ἧκον ἀγγέλλοντες, ὅτι οἱ πολέμιοι πολὺ στράτευμα ἄγουσιν. 5. Πολὺν χρόνον οἱ Μεσσήνιοι ὑπὲρ τῆς ἐλευθερίας καὶ τῆς πατρίδος ἐμάχοντο. 6. Μὴ ἐν πολλοῖς ὀλίγα λέγε, ἀλλ᾽ ἐν ὀλίγοις πολλά. 7. Τὸν τῶν Περσῶν βασιλέα οἱ Ἕλληνες μέγαν ὠνόμαζον. 8. Ἡ τοῦ στρατηγοῦ ἀρετὴ ἐκ μεγάλου κινδύνου τὴν στρατιὰν ἔσωσεν. 9. Ὅμηρος προςαγορεύει Ἀχιλλέα μέγα κῦδος Ἀχαιῶν. 10. Μεγάλοι πόνοι μεγάλης δόξης πηγή εἰσιν.

**Περὶ τοῦ Ἅιδου.**

Τόπον μέγαν καὶ σκοτεινὸν ὑπὸ τῇ γῇ οἱ ποιηταὶ Ἅιδην λέγουσιν· διάγουσιν δ᾽ ἐκεῖ μετὰ τὸν θάνατον αἱ τῶν ἀνθρώπων ψυχαί. Περιέχουσι δ᾽ ἐκείνην τὴν χώραν μεγάλοι καὶ φοβεροὶ ποταμοί, οἷον Στὺξ καὶ Ἀχέρων καὶ Λήθη, διὰ δὲ τῆς Στυγὸς ἄγει τὰς ψυχὰς Χάρων μεγάλῳ πλοίῳ, τὰς ἐκ τῆς γῆς παραγιγνομένας. Μετὰ δὲ τὴν τῆς Στυγὸς διάβασιν ἀθροίζονται αἱ ψυχαὶ ἐν μεγάλῳ λειμῶνι, ἔνθα ὑπὸ τῶν ἐν Ἅιδου δικαστῶν κρίνονται. Καὶ οἱ μὲν ἀγαθοὶ εἰς τὸ Ἠλύσιον πεδίον, τῆς ἀεὶ εὐδαιμονίας, οἱ δὲ κακοὶ εἰς Τάρταρον, τῆς τίσεως καὶ κολάσεως τόπον, ἀποπέμπονται. Ἄρχει δ᾽ ἐκεῖ Πλούτων, ὁ τοῦ Διὸς ἀδελφός, σὺν τῇ γυναικὶ Περσεφόνῃ, τῆς Δήμητρος θυγατέρι, ἥν ποτε ἐκ τῆς γῆς ἥρπασεν.

**Adiectiva. Comparativus τερος, εστερος. Superlativus τατος, εστατος.**

1.Σοφὸς μὲν Σοφοκλῆς, σοφώτερος δ᾽ Εὐριπίδης, ἀνδρῶν δὲ πάντων σοφώτατος Σωκράτης εἶναι ἐλέγετο. 2. Ἀρετῆς καὶ σοφίας οὐκ ἔστι κτῆμα



οὔτε βεβαιότερον οὔτε τιμιώτερον. 3. Ἐν τοῖς παλαιοτέροις χρόνοις Μίλητος καὶ Κόρινθος πλουσιώτεραι καὶ ἐνδοξότεροι ἦσαν ἢ αἱ Ἀθῆναι. 4. Σπουδὴ καὶ πόνος βεβαιότατος θησαυρός εστι τῷ ἀνθρώπῳ. 5. Πυρὸς καὶ ὕδατος ὁ φίλος ἀναγκαιότερος. 6. Νόμιζε μηδὲν μητρὸς εὐμενέστερον. 7. Τί φίλτερον, τί δὲ γλυκύτερον τῆς πατρίδος τοῖς ἀνθρώποις ἐστίν. 8. Ὦ φίλτατε, στέργε τὴν πατρίδα. 9. Ἐν ταῖς ἀτυχίαις πολλάκις οἱ ἄνθρωποι σωφρονέστεροί εἰσιν ἢ ἐν ταῖς εὐτυχίαις. 10. Οἱ πλουσιώτατοι τῶν ἀνθρώπων οὐκ ἀεὶ εὐδαιμονέστατοί εἰσιν. 11. Παντὶ πατρὶ καὶ πάσῃ μητρὶ οἱ παῖδές εἰσι κάλλιστος κόσμος. 12. Πασῶν τῶν Ἑλληνικῶν θεῶν χαριεστάτη μὲν ἦν Ἀφροδίτη, σοφωτάτη δ᾽ Ἀθηνᾶ.

**Comparativus на ίων. Superlativus на ιστος.**

1. Ἡδὺς μὲν τῷ παιδὶ ὁ παρὰ τοῦ ἑταίρου ἔπαινος, ἡδίων δ᾽ ὁ παρὰ τοῦ διδασκάλου, ἥδιστος δ᾽ ὁ παρὰ τῶν γονέων. 2. Οὐκ ἔστι κτῆμα κάλλιον φίλου. 3. Οὐδὲν κάκιον καὶ αἴσχιον τῆς ἀναρχίας καὶ τῆς τυραννίδος. 4. Ἡ μὲν σοφία πάντων κάλλιστον, ἡ δ᾽ ἀμαθία πάντων αἴσχιστον. 5. Ταχεῖα μὲν ἡ φωνή, θᾶττον δὲ τὸ φῶς, τάχιστος δ᾽ ὁ νοῦς. 6. Τῶν ἐν Τροίᾳ ἡρώων ὁ Ἀχιλλεὺς κάλλιστος ἦν καὶ τάχιστος. 7. Οἱ γονεῖς τοῖς παισὶ μέγιστοι εὐεργέται εἰσίν. 8. Μείζους ἡδονὰς οὐκ ἔχουσιν οἱ γονεῖς ἢ καλοὺς καὶ ἀγαθοὺς παῖδας.

## Gradus comparationis adiectivorum:
## ἀγαθός, κακός, μικρός.

1. Οὔτ᾽ ἰατρὸς οὔτε σύμβουλος οὐδεὶς τοῦ χρόνου βελτίων ἐστίν. 2. Οἱ τῆς πατρίδος φίλοι τοῖς πολίταις οὐ τὰ ἥδιστα, ἀλλὰ τὰ βέλτιστα συμβουλεύουσιν. 3. Οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς



τοῦ βασιλέως θύραις ἐπαιδεύοντο. 4. Κρεῖττον τοῦ πλούτου ἡ σοφία, κράτιστον δ᾽ ἡ ἀρετή. 5. Μέτρον ἄριστον πάντων. 6. Οὐδὲν χαλεπώτερον ἢ ἄρχεσθαι ὑπὸ τῶν χειρόνων. 7. Ὁ μὲν ἥλιος μείζων, ἡ δὲ σελήνη μείων ἐστὶ τῆς γῆς. 8. Οἱ μὲν μικρότατοι οὐκ ἀεὶ ἀσθενέστατοι, οἱ δὲ μέγιστοι οὐκ ἀεὶ κράτιστοί εἰσιν. 9. Ὁ θάνατος κοινός ἐστι καὶ τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις.

## πολύς, ὀλίγος, ῥᾴδιος. Defectiva.

1. Οἱ μὲν πλούσιοι πλείους ἔχουσι φίλους ἢ οἱ πένητες, ἀληθέστεροι δ᾽ οἱ τῶν πενεστέρων φίλοι. 2. Ὁ πόλεμος φέρει τοῖς ἀνθρώποις πλεῖστα καὶ μέγιστα κακά, ἡ δ᾽ εἰρήνη πλεῖστα ἀγαθά. 3. Οἱ ᾿Αθηναῖοι, καίπερ πλήθει ἐλάττονες ὄντες, ἐνίκησαν τοὺς Πέρσας ἐν Μαραθῶνι διὰ τὴν ἀνδρείαν. 4. Ῥᾷόν ἐστιν ἄρχειν ἑκόντων ἢ ἀκόντων. 5. Ἡ βραχυτάτη ὁδὸς οὐκ ἀεὶ ῥᾴστη ἐστίν. 6. Ὁ μὲν ᾿Αστυάγης ὕστατος βασιλεὺς τῶν Μήδων, Κῦρος δ᾽ ὁ ἀρχαῖος πρῶτος βασιλεὺς τῶν Περσῶν ἦν. 7. Καὶ ἐν ἐσχάτοις κινδύνοις καὶ ἐν μεγίσταις συμφοραῖς χρὴ βοήθειαν φέρειν τοῖς ἀνθρώποις. 8. Οἱ πλεῖστοι καὶ ἄριστοι τῶν Λυκούργου νόμων ἐκ τῆς νήσου Κρήτης ἦσαν.

## Περὶ Κύρου τοῦ νεωτέρου.

I

Ξενοφῶν ὁ συγγραφεὺς λέγει, ὅτι Κῦρος ὁ νεώτερος, Δαρείου τοῦ Περσῶν βασιλέως υἱός, ᾿Αρταξέρξου δ᾽ ἀδελφός, βασιλικώτατος ἦν καὶ ἄρχειν ἀξιώτατος. Ἔτι παῖς ὤν, ὅτ᾽ ἐπαιδεύετο μετὰ τοῦ ἀδελφοῦ καὶ τῶν ἄλλων παίδων τῶν ἀρίστων, πάντων πάντα κράτιστος ἐνομίζετο. Οὐ γὰρ μόνον εὐφυέστατος, ἀλλὰ καὶ φιλομαθέστατος καὶ φιλοπονώτατος ἦν· φίλτατος δ᾽ ἦν οὐ μόνον



τοῖς ἡλικιώταις, οἷς πάντα ἐχαρίζετο, ἀλλὰ καὶ τοῖς πρεσβυτέροις· ἡδέως γὰρ ἐπείθετο αὐτοῖς, ἀκριβῶς δὲ διέπραττε πάντα, ἃ αὐτῷ προσέταττον.

II.

Ἐπεὶ δ᾽ ὕστερον σατράπης ἦν τῆς Λυδίας καὶ Φρυγίας τῆς μεγάλης καὶ Καππαδκίας, ἀληθέστατος εἶναι ἐνομίζετο καὶ πιστότατος, ὥστε οὐ μόνον αἱ πόλεις, ἀλλὰ καὶ οἱ ἄνδρες παντελῶς ἐπίστευον αὐτῷ· αἴσχιστον γὰρ πάντων ἐνόμιζε τὸ ψεῦδος. Εὐνούστατος δ᾽ ἦν τοῖς ἀγαθοῖς, φοβερώτατος δὲ τοῖς κακοῖς· καὶ τοὺς μὲν ἀγαθοὺς εὐδαιμονεστάτους καὶ πλουσιωτάτους, τοὺς δὲ κακοὺς τῶν ἀμεινόνων δούλους ἐβούλετο εἶναι. Οὐ θαυμαστὸν οὖν, ὅτι πλείους εἶχε φίλους ἢ ἄλλος τις. Νομίζων δ᾽ εὐδαίμονας φίλους μέγιστον καὶ κάλλιστον ἀνδρὶ κόσμον εἶναι, δῶρα αὐτοῖς πλεῖστα πολλάκις ἔπεμπεν. Πάντες οὖν καὶ οἱ Πέρσαι καὶ οἱ Ἕλληνες, οἳ τῷ Κύρῳ συνεστρατεύοντο, ἐθαύμαζον καὶ ἔστεργον αὐτόν.

## Numeralia cardinalia.

I

1. Κρεῖττόν ἐστιν ἕνα φίλον ἔχειν πολλοῦ ἄξιον ἢ πολλοὺς μηδενὸς ἀξίους. 2. Ἓν μὲν στόμα, δύο δ᾽ ἔχομεν ὦτα· χρὴ οὖν πολλὰ μὲν ἀκούειν, ὀλίγα λέγειν. 3. Ὁ φίλος μία ψυχή ἐστιν ἐν δυοῖν σώμασιν. 4. Νιόβη, ἡ τῶν Θηβαίων βασίλεια, μήτηρ οὖσα ἑπτὰ υἱέων καὶ ἑπτὰ θυγατέρων, τὴν Λητὼ ὕβριζε, μητέρα οὖσαν ἑνὸς υἱοῦ καὶ μιᾶς θυγατρός. 5. Τριῶν τῶν ἐν ’Αθήναις λιμένων Πειραιεὺς μέγιστος καὶ κάλλιστος ἦν. 6. Ἡ τῶν Ἑλλήνων ὀλυμπιὰς χρόνος ἦν τεττάρων ἐτῶν. 7. Ἡ μέλιττα τέτταρα πτερὰ ἔχει καὶ πόδας ἕξ.



II

1. Τρεῖς ἦσαν αἱ Χάριτες, ἐννέα δ᾽ αἱ Μοῦσαι. 2. Οἱ Ἕλληνες δέκα ἔτη ἐμάχοντο τοῖς Τρωσίν. 3. Ἡ ’Αττικὴ δραχμὴ ἦν ὀβολῶν ἕξ, ἡ δὲ μνᾶ δραχμῶν ἑκατόν, τὸ δὲ τάλαντον μνῶν ἑξήκοντα. 4. Ἔτος χρόνος ἐστὶ δώδεκα μηνῶν ἢ τριακοσίων ἑξήκοντα πέντε ἡμερῶν. 5. Ἐν Σαλαμῖνι εἶχον οἱ Ἕλληνες ὀκτὼ καὶ ἑβδομήκοντα καὶ τριακοσίας ναῦς, οἱ δὲ Πέρσαι εἰς χιλίας. 6. Ἐν Κύρου τοῦ νεωτέρου στρατιᾷ ὁπλῖται μὲν τῶν Ἑλλήνων ἦσαν σύμπαντες μύριοι καὶ χίλιοι, πελτασταὶ δ᾽ ἀμφὶ τοὺς δισχιλίους. 7. Ἐν τῇ ἐν Πλαταιαῖς μάχῃ ὁ τῶν Ἑλλήνων ἀριθμὸς ἦν εἰς δέκα μυριάδας, τῶν δὲ βαρβάρων εἰς πεντήκοντα.

## Numeralia ordinalia et adverbia numeralia.

1. Ῥωμύλος πρῶτος τῶν Ῥωμαίων βασιλεὺς ἦν. 2. Τὴν παιδείαν τοῖς ἀνθρώποις δεύτερον ἥλιον εἶναι λέγουσιν. 3. Οἱ ποιηταὶ τὴν μὲν πρώτην γενεὰν χρυσῆν, τὴν δὲ δευτέραν ἀργυρᾶν, τὴν δὲ τρίτην χαλκῆν, τὴν δὲ τετάρτην σιδηρᾶν ὀνομάζουσιν. 4. Ἡ ἐν Μαραθῶνι μάχη ἦν τῷ τρίτῳ ἔτει τῆς δευτέρας καὶ ἑβδομηκοστῆς ὀλυμπιάδος, ἡ δ᾽ ἐν Σαλαμῖνι ναυμαχία τῷ δεκάτῳ ἔτει μετὰ τὴν ἐν Μαραθῶνι μάχην. 5. Ὁ παρασάγγης τριάκοντα σταδίων ἦν· τὸ οὖν στάδιον τριακοστὸν μέρος ἦν τοῦ παρασάγγου. 6. Καὶ ἅπαξ ψεῦδος λέξαι αἰσχρόν. 7. Δὶς παῖδες γέροντες, παροιμία ἐστίν. 8. Τρὶς καὶ τετράκις εὐδαίμονες οἷς τῶν κακῶν ἐλεύθερος βίος.

## Περὶ τῆς Ξέρξου στρατιᾶς.

Ξέρξης τὴν Ἑλλάδα καταστρέψασθαι βουλόμενος ἀναρίθμητον στρατιὰν συνέλεξεν. Τοῦ μὲν γὰρ πεξοῦ στρατοῦ τὸ πλῆθος ἦν ἑβδομήκοντα καὶ ἑκατὸν μυριάδες, τῶν δὲ τριήρων ἀριθμὸς ἑπτὰ καὶ



διακόσιαι καὶ χίλιαι. Ἐν δὲ ταῖς τριήρεσι καὶ ταῖς ἄλλαις ναυσίν ἄνδρες ἦσαν εἰς τὰς δύο καὶ πεντήκοντα μυριάδας. Ἦγεν οὖν εἰς τὴν Εὐρώπην ἀμφὶ τὰς τριάκοντα καὶ διακοσίας μυριάδας στρατιωτῶν. Ὅμως δὲ καὶ ἐν περὶ Σαλαμῖνα ναυμαχίᾳ καὶ ἐν τῇ ἐν Πλαταιαῖς μάχῃ ἐνίκησαν τοὺς Πέρσας οἱ Ἕλληνες, καίπερ πολὺ ἐλάττονες ὄντες· ἀνδρείως γὰρ ἐμάχοντο τοῖς βαρβάροις.

## Pronomina personalia et possessiva.

1. Ἐν τῷ δικαστηρίῳ ἔλεξε Σωκράτης πρὸς τοὺς δικαστάς· " Ἐγὼ μὲν, ὦ ἄνδρες δικασταί, οὐδένα οὐδὲν διδάσκω. Εἰ δὲ τις ἐμοῦ διαλεγομένου ἀκούειν ἐθέλει, οὐδὲν ἀντιλέγω. Προσέρχονται δ᾽ οὖν ἐμοὶ πολλοί τε νέοι καὶ ἄνδρες πρεσβύτεροι ἀκοῦσαι βουλόμενοι τῶν ἐμῶν λόγων καὶ διαλέγονταί μοι". 2. Σὲ δ᾽ ἀεὶ θαυμάσονται οἱ ἄνθρωποι ἐπὶ τῇ σοφίᾳ καὶ τῇ ἀρετῇ. 3. Πρὸ τῆς μάχης ἔλεξεν ὁ στρατηγὸς πρὸς τοὺς στρατιώτας· " Ἄνδρες στρατιῶται, οὐχ ἡμεῖς, ἀλλ᾽ οἱ πολέμιοι τοῦ πολέμου αἴτιοί εἰσιν. (4) Ἡμᾶς δὲ χρὴ ἀνδρείως μάχεσθαι ὑπὲρ τῆς πατρίδος, εἰ μὴ βουλόμεθα ἀνάξιοι φαίνεσθαι τῶν ἡμετέρων προγόνων. (5) Ὑμεῖς νῦν μόνοι πᾶν ἔρυμα τῆς πόλεως καὶ πάσα ἐλπίς. (6) Ἐν ὑμῖν, ὦ ἄνδρες, ἔστι σῶσαι τὴν πατρίδα, εἰς ὑμᾶς βλέπουσι νῦν καὶ αἱ ὑμέτεραι γυναῖκες καὶ τὰ ὑμέτερα τέκνα καὶ πᾶσα ἡ πόλις".

## Pronomen αὐτός, ὁ αὐτός.

1. Ὁ διδάσκαλος ἀεὶ τὰ βέλτιστα τοῖς μαθηταῖς συμβουλεύει· χρὴ οὖν τοὺς μαθητὰς πείθεσθαι αὐτῷ. 2. Ὁ μὲν Ζεὺς ἦρχε τοῦ οὐρανοῦ, τῶν δ᾽ ἀδελφῶν αὐτοῦ ὁ μὲν Ποσειδῶν κύριος ἦν τῆς θαλάττης, ὁ δὲ Πλούτων τοῦ Ἅιδου. 3. Ὁ τοῖς ἄλλοις μωρίαν ὀνειδίζων πολλάκις αὐτὸς οὐκ ἔχει νοῦν. 4. Αὐτὸ τὸ τοῦ Ἀχιλλέως ὄνομα τοῖς Τρωσὶ φόβον



ἐνέβαλλεν. 5. Ὀλίγοι τῶν ἀνθρώπων οἱ αὐτοί εἰσὶν ἐν εὐτυχίᾳ καὶ ἀτυχίᾳ. 6. Οὐ ταὐτόν ἐστι τὸ λέγειν καὶ τὸ πράττειν. 7. Οἱ ’Αθηναῖοι ἐνίοτε τῆς αὐτῆς ἡμέρας περὶ τῶν αὐτῶν οὐ ταὐτὰ ἐψηφίσαντο.

## Pronomina reflexiva, ἄλλος et pronomen reciprocum.

1. Ἐγὼ μὲν πράττω τὰ ἐμαυτοῦ, σὺ δὲ πράττεις τὰ σαυτοῦ, δεῖ δ᾿ ἕκαστον πράττειν τὶ ἑαυτοῦ. 2. Σοφός τις ἔλεξεν· ἐγὼ μὲν οὐδένα φόβον ἔχω περὶ τῆς ἐμῆς οὐσίας, τὰ γὰρ ἐμαυτοῦ ἐν ἐμαυτῷ ἀεὶ περιφέρω. 3. Κράτει σαυτοῦ, ὦ νεανία, μηδέποτε δὲ δοῦλον ποίει σαυτὸν τῶν ἡδονῶν. 4. Αὑτὸν νικῆσαι καλλίστη νίκη ἐστίν. 5. Οἱ ἄνθρωποι τὰ μὲν πλεῖστα αὐτοὶ αἴτιοί εἰσι τῆς ἑαυτῶν ἀτυχίας· πολλοὶ δ᾿ οὐχ αὑτοῖς, ἀλλὰ τοῖς πράγμασι τὴν αἰτίαν ἐπιφέρουσιν. 6. Αἰσχρόν ἐστιν ἄλλα μὲν πράττειν, ἄλλα δὲ λέγειν. 7. Στέργετε ἀλλήλους, ὦ φίλοι. καὶ πιστεύετε ἀλλήλοις.

## Ἔριδος μῆλον.

Ἐν τῇ Θετταλίᾳ ἦρχέ ποτε Πηλεύς. Ἡ δὲ τῆς δικαιοσύνης αὐτοῦ φήμη διήρχετο ὅλην τὴν χώραν. Ἐπεὶ οὖν ὁ γάμος ἦν αὐτοῦ – υἱὸς δὲ αὐτοῦ ἦν ὕστερον Ἀχιλλεύς – ἦσαν καὶ οἱ θεοὶ καὶ αἱ θεαὶ ἐν τῇ ἑορτῇ. Μόνη δ᾿ Ἔρις, ἡ τῆς διαφορᾶς θεά, οὐ παρῆν, ὅτι ὑπὸ τῶν θεῶν ἠχθαίρετο. Λαμπρὰ οὖν ἦν ἡ ἑορτή. Ἀπόλλων γὰρ καλὰς ᾠδὰς ᾖδε καὶ οὕτως ηὔξανε τὴν ἡδονήν. Ἤσθιον δὲ οἱ θεοὶ ἀμβροσίαν τροφήν, ὡς πρέπει αὐτοῖς.

Ἔνθα οὖν ἡ Ἔρις διὰ τῆς θύρας εἰσβάλλει χρυσοῦν μῆλον εἰς τὴν οἰκίαν καὶ λέγει· "Τῇ καλλίστῃ". Αὐτίκα δὲ γίγνεται δεινὴ διαφορά. ᾿Αφροδίτη γάρ· "Ἐμόν, ἔφη, τὸ δῶρόν ἐστιν". Ἡ δ᾿ ᾿Αθηνᾶ· "Οὐ σή ἐστιν ἡ δωρεά, ἀλλ᾿ ἐμὴν εἶναι αὐτὴν λέγω, ὅτι οὐ μόνον ἡ ἐμὴ μορφὴ καλή ἐστι, ἀλλὰ καὶ ἀνδρεῖος ὁ ἐμὸς θυμός". Ἥρα δ᾿ ὀργιζομένη· "Οὐ δίκαιαι, ἔφη, αἱ ὑμέτεραι γνῶμαί εἰσιν. Οὐδεὶς γὰρ οὕτως ἄξιός



ἐστι τῶν μεγίστων τιμῶν, ὡς ἡ τοῦ μεγίστου θεοῦ γαμετή". Ἔνθα Ζεὺς ὀργιζόμενος κελεύει τὰς θεὰς ἡσυχάζειν καὶ πέμπει αὐτὰς πρὸς τὸν Πριάμου καλὸν υἱόν. Αἱ δὲ θεαὶ ὑπὸ τοῦ τῶν θεῶν ἀγγέλου ἀγόμεναι πέτονται πρὸς τὴν Τρωικὴν χώραν.

## Pronomina demonstrativa et relativa.

1. Οὐχ οὗτος πλούσιός ἐστιν, ὃς πολλὰ ἔχει, ἀλλ᾿ ἐκεῖνος, ᾧ τὰ αὐτοῦ ἀρέσκει. 2. Οὐ τούτῳ τῷ φίλῳ μάλιστα πιστεύομεν, ὃς ἡμᾶς κολακεύει, ἀλλ᾿ ἐκείνῳ, ὃς ἀεὶ ἡμῖν πᾶσαν τὴν ἀλήθειαν λέγει. 3. Γοργώ, Λάκαινα γυνή, τῷ υἱῷ ἐπὶ στρατείαν πορευομένῳ τὴν ἀσπίδα ἐγχειρίζουσα ἔλεξεν· "ἢ ταύτην ἢ ἐπὶ ταύτης". 4. Οὗτοι οἱ πολῖται εὐδαιμονέστατοί εἰσιν, ὧν ἡ πόλις δικαιοτάτους ἔχει τοὺς νόμους, αὗται δ᾿ αἱ πόλεις ὀλβιώταται, ἐν αἷς οἱ πολῖται μάλιστα πείθονται τοῖς νόμοις. 5. Περὶ ὧν ἕκαστος μάλιστα σπουδάζει, ταῦτ᾿ αὐτῷ κάλλιστα ἔχει. 6. Τοῖς πολίταις περὶ τοῦ πολέμου βουλευομένοις ἥδε ἀρίστη ἐφαίνετο βουλή· εὐθὺς στρατεύεσθαι ἐπὶ τοὺς πολεμίους.

## Pronomina interrogativa τίς, τί et indefinita τις, τι.

1. Τίς μείζων, τίς κρείττων τοῦ Ἡρακλέους; 2. Τίνος δ᾽ ἔργα θαυμαστότερα ἢ τὰ αὐτοῦ; 3. Τίς τῶν ἀνθρώπων οὐ θεραπεύει τοὺς γονέας αὑτοῦ; 4. Σοφός τις ἔλεξε· "Τὰ ἐμαυτοῦ ἐν ἐμαυτῷ ἀεὶ περιφέρω. 5. Τίς λείψει τὸν φίλον ἐν τῷ κινδύνῳ; 6. Τῶν μαθητῶν τις ἔλεξεν· "Ἐγὼ ἀεὶ μανθάνω σπουδαίως". 7. Σωκράτης ἔλεξεν· "Εἴ τις ἐμοῦ διαλεγομένου ἀκούειν ἐθέλει, οὐδὲν ἀντιλέγω. 8. Τίνες τῶν στρατηγῶν τὴν ἐλπίδα νίκης οὐκ ἔχουσιν; 9. Τί ἥδιόν ἐστι τέκνοις



ἢ μήτηρ; Τί φίλτερον πολίταις ἢ πατρίς; 10. Ζῷά τινα μικρὰ μίαν μόνον ἡμέραν ζῇ. 11. Τίνας χώρας ἐβλέψατε, ὦ ναῦται, ἐν τῷ τῆς Λιβύης περίπλῳ; 12. Οἱ Ἕλληνες παρὰ Φοινίκων ἐδέξαντο τέχνας τινάς, ὥσπερ σημεῖα γράφειν. 13. Μέγιστος ἦν ᾽Αθήνησιν ὁ τῶν γλαυκῶν ἀριθμός, ὥστε " γλαῦκα Ἀθήναζε " ἐλέγετο πρὸς τούτους, οἳ περιττόν τι ἔπραξαν.

## Σωκράτης τὴν ᾽Αλκιβιάδου ὕβριν παύει.

᾽Αλκιβιάδης ἐπῇρετό ποτε τοῖς ἑαυτοῦ χρήμασι καὶ ἀγροῖς. Ταῦτ᾽ ἀκούσας ὁ Σωκράτης αὐτὸν καὶ πάντας τοὺς ἄλλους, οἵτινες παρῆσαν, πρὸς πίνακά τινα ἄγει, ἐν ᾧ ἦν περίοδος τῆς γῆς. Ἐκεῖ δ᾽ ὁ Σωκράτης λέγει· " Τίς ὑμῶν ἀναγνωρίζει τι τούτων, ἃ φανερά ἐστιν ἐν τούτῳ τῷ πίνακι; "Καὶ ὁ μέν· " Ἥδε ἡ χώρα ἐστὶν ἡ Ἑλλάς". Ὁ δὲ· "Τοῦτο μὲν τὸ πέλαγός ἐστι τὸ Ιωνικόν, ἐκεῖνο δὲ τὸ Αἰγαῖον. Ἄλλος δέ τις· "Αὗται μὲν αἱ νῆσοί εἰσὶν αἱ Κυκλάδες, ἐκεῖναι δ᾽ αἱ Σποράδες". Τότε δὲ Σωκράτης πρός τινα λέγει· "Ποῦ δ᾽ ἐστίν ἡ ᾽Αττική; " Ἐν τούτῳ τῷ τόπῳ". Τίνας ποταμοὺς βλέπετε; λέγετε ὀνόματά τινων". "Οὗτος μὲν ὁ ποταμός ἐστιν ὁ Ἰλισός, ἐκεῖνος δ᾽ ὁ Κηφισός". "Σὺ δε, ὦ ᾽Αλκιβιάδη, λέγε, ποῦ εἰσιν οἱ σοὶ ἀγροί;" Τότε δ᾽ ᾽Αλκιβιάδης οὐδὲν εἶχε λέξαι· ὁ δὲ Σωκράτης· "Εἰ οἱ σοὶ ἀγροὶ μηδὲν εἰσι μέρος τῆς ᾽Αττικῆς, τί ὑβρίζεις;"

## Pronomina correlativa et cetera.

1. Οἷος ὁ βίος, τοιοῦτος ὁ θάνατος, οἷοι δ᾽ οἱ λόγοι, τοιαῦται καὶ αἱ πράξεις. 2. Ὅσος ὁ πόνος, τοσοῦτος ὁ μισθός. 3. Ὅση ἡ σὴ τέχνη, τοσαύτη ἡ δόξα. 4. Οὐκ ἀεὶ ἡ τελευτή ἐστι τοιαύτη, οἵα ἡ ἀρχή.



5. Ὅσοι ἄνθρωποι, τοσαῦται γνῶμαι. 6. Ὅσους δακτύλους ἔχομεν ἐν ταῖς χερσί, τοσούτους ἔχομεν ἐν τοῖς ποσίν. 7. Τοιοῦτος ῥήτωρ βέλτιστός ἐστιν, ὅστις ἐν ὀλίγοις ἔπεσι τὰ πλεῖστα καλῶς λέγει. 8. Δεῖ τοὺς πολίτας φροντίζειν, ὁποῖα τῇ πόλει συμφέρει. 9. Ἆγις ὁ βασιλεὺς ἔλεγεν, ὅτι τοῖς Λακεδαιμονίοις οὐ τοῦτο μέλει, ὁπόσοι εἰσὶν οἱ πολέμιοι, ἀλλ᾽ ὅπου εἰσὶν. 10. Τῶν ἐμῶν ἀδελφῶν οὐδέτερος περίστιν· ἀμφότεροι δ᾽ ὑπὲρ

τῆς πατρίδος μαχόμενοι ἐτελεύτησαν. 11. Μιλτιάδης καὶ Θεμιστοκλῆς τὰ πλεῖστα ὠφέλησαν τὴν πατρίδα, οὐδὲ ῥᾴδιον λέξαι, ὁπότερος αὐτῶν μείζονος δόζης ἄξιός ἐστιν.

## Περὶ Δαιδάλου.

Ὁ λαβύρινθος ἐλέγετο λαμπρὸν ἔργον τοῦ Δαιδάλου εἶναι. Ἦν μὲν ὁ Δαίδαλος ἐκ τῆς ’Αθηναίας χώρας. Ὁ δὲ Μίνως αὐτὸν καὶ Ἴκαρον τὸν υἱὸν αὐτοῦ ἐκώλυε τοῦ νόστου. Πολλὰς ἡμέρας ὁ πατήρ τε καὶ ὁ υἱὸς βίᾳ ἐνεκλείοντο. Ἐπεὶ δὲ ὁ Δαίδαλος τῷ τυράννῳ πείθεσθαι οὐκ ἐβούλετο, τὴν ἐλευθερίαν νέῳ δόλῳ ἐπορίζετο.

Λάθρᾳ γὰρ ὁ πατὴρ καὶ ὁ υἱὸς θαυμάσια πτερὰ παρεσκεύαζον. Ἔπειτα πέτονται ἐν μέσῳ τοῦ οὐρανοῦ καὶ τοῦ πόντου. Ὁ πατὴρ συνεβούλευε τῷ Ἰκάρῳ μὴ ἄγαν πλησιάζειν τῇ τοῦ ἡλίου φοβερᾷ βίᾳ. Ἐπεὶ δὲ ὁ υἱὸς αὐτῷ οὐκ ἐπείθετο, διελύετο τὰ πτερὰ αὐτοῦ, καὶ αὐτὸς εἰσπίπτει εἰς τὸν πόντον. Ὁ δὲ πατὴρ μάλα ἐκπλήττεται τῇ θέᾳ καὶ μέμφεται τοὺς θεοὺς καὶ τὰς θεὰς ἐπ᾽ ἀδικίᾳ. Αὐτὸς δὲ μετὰ μακρὰν πορείαν ἥκει εἰς τὴν Σικελίαν.

## Coniunctivus et optativus praesentis activi.

1. Οὐδεὶς πιστεύει ψεύστῃ, κἂν ἀληθεύῃ. 2. Ὅταν εὖ πράττῃς, πολλοὺς ἔχεις φίλους. 3. Οἱ φιλάργυροι, οὐδ᾽ ἐὰν πλεῖστα ἔχωσιν,



ἱκανὰ ἔχειν νομίζουσιν. 4. Διὰ τοῦτο δύο μὲν ἔχομεν ὦτα, στόμα δ᾽ ἕν, ἵνα πλέω μὲν ἀκούωμεν, ἧττω δὲ λέγωμεν. 5. Πολλὰ ἂν λέγοιμί σοι περὶ τῆς σοφίας, τί ἐστιν, εἰ σχολὴν ἔχοις. 6. Μὴ φεύγωμεν, ὦ ἑταῖροι, ἐκ τῆς μάχης, ἀλλὰ καλῶς ἀποθνήσκωμεν ὑπὲρ τῆς πατρίδος. 7. Οὐχ ὁ πλουσιώτατος, ἀλλ᾽ ὁ σωφρονέστατος πλείστην τιμὴν ἐχέτω. 8. Τῶν ἀνδρῶν ἀγορευόντων οἱ νεανίαι σιγὴν ἐχόντων.

## Coniunctivus et optativus praesentis medii et passivi.

1. Οὐ πάντα ἔξεστί μοι πράττειν, ἃ ἂν βούλωμαι. 2. Ἀστυάγης ἔλεξε πρὸς Κῦρον παῖδα ὄντα· "Ἐὰν παρ᾽ ἐμοὶ μένῃς, καὶ ἵπποις τοῖς ἐμοῖς χρήσῃ καὶ ἄλλοις, ὁπόσοις ἂν βούλῃ. 3. Πῶς ἄξιος ἄρχειν, ὃς ἂν μὴ πείθηται τοῖς νόμοις; 4. Θαυμάζοντός τινος, ὅτι οἱ Σπαρτιᾶται οὕτως ὀλίγον οἶνον πίνοιεν. Λεωτυχίδης· "Οὕτως ὀλίγον", ἔφη, "πίνομεν, ἵνα μὴ ἄλλοι ὑπὲρ ἡμῶν βουλεύωνται, ἀλλ᾽ ἡμεῖς ὑπὲρ ἄλλων. 5. Εἴθ᾽ ἄξιοι φαίνοισθε, ὦ νέοι, τῶν ὑμετέρων προγόνων. 6. Δημάρατος ἔλεξε πρὸς Ξέρξην ἐν ταῖς Θερμοπύλαις·" Ὦ βασιλεῦ, μὴ οἴου ῥᾳδίαν εἶναι τὴν νίκην· νῦν γὰρ ἂν πρὸς τοὺς ἀνδρειοτάτους ἄνδρας μάχοιο.

## Περὶ ’Αργοναυτῶν.

’Απ᾽ ἐκείνης τῆς Θετταλίας, ἔνθα Πηλεὺς ἐβασίλευεν, Ἰάσων καὶ οἱ Ἀργοναῦταί ποτε ἔπλεον εἰς τὸν Εὔξεινον Πόντον. Ἤδε ἡ θάλαττα ἦν ἐν ἐκείνῳ τῷ χρόνῳ ἔτι ἄγνωστον· ὠνομάζετο δὲ Πόντος Ἄξεινος, τὸ δὲ πλοῖον τὸ ἐκείνων τῶν ναυτῶν ἦν ἡ ’Αργώ.

Οἱ οὖν Ἀργοναῦται ἐκ τῆς ἀξείνου χώρας τῆς τῶν Κόλχων ἐκεῖνο τὸ ἔνδοξον δέρμα χρουσοῦν οἴκαδε ἤθελον κομίζειν. Χρυσοῦς γὰρ κριός ποτε δύο ἄθλια τέκνα διὰ τῶν νεφελῶν εἰς ἐκείνους τοὺς τόπους ἔφερεν, τὴν δὲ δορὰν αὐτοῦ δεινὸς δράκων νύκτωρ τε καὶ ἡμέρας ἐφύλαττεν.



Οἵδε οἱ ἐσθλοὶ ναῦται τῆς καλῆς ὥρας ἀρχομένης διὰ τοῦ Ἑλλησπόντου καὶ τοῦ Βοσπόρου ἔπλεον καὶ εὖ ἥκουσι πρὸς τοὺς Κόλχους καίπερ πολλῶν κινδύνων αὐτοῖς γιγνομένων.

Ὁ δὲ δεσπότης ὁ τῆσδε τῆς χώρας οὐχ ἕτοιμος ἦν ἔνδοξον δορὰν αὐτοῖς παρέχειν, ἀλλ' Ἰάσων ὑπ' αὐτοῦ ἀναγκάζεται χαλεπὰ ἔργα πρότερον πράττειν. Ἐπεὶ δὲ τοῦτο αὐτῷ ἀδύνατον εἶναι φαίνεται, Μήδεια ἡ τοῦδε τοῦ δεσπότου θυγάτηρ, λάθρᾳ παντοῖα φάρμακα κομίζει αὐτῷ καὶ τῷ νεανίᾳ παρεῖναι βούλεται.

Τοῦ ξένου εὐχομένου κομίζεται οὖν ὑπ' αὐτῆς ἐκεῖνος ὁ δράκων, καὶ οὕτως δ' Ἰάσων ἁρπάζει τὴν δοράν. Ἔπειτα φεύγει καίπερ διωκόμενος σὺν τοῖς ἑταίροις καὶ ἐκείνῃ τῇ παρθένῳ εἰς τὴν Θετταλίαν.

## Verba contracta.

### Praesens et imperfectum activi verborum in εω

1. Κράτει πανταχοῦ γλώττης. 2. Μία χελιδὼν οὐ ποιεῖ ἔαρ. 3. Τοῖς μὲν νοσοῦσι τοὺς ἰατροὺς δεῖ βοηθεῖν, τοῖς δ' ἀτυχοῦσι τοὺς φίλους. 4. Οἱ 'Αθηναῖοι πολλὰ ἔτη ἐπολέμουν τοῖς Σπαρτιάταις καὶ τοῖς συμμάχοις αὐτῶν. 5. Μὴ ποιεῖτε ταῦτα, ἃ ἂν ἄλλοις ποιοῦσιν ἐγκαλοῖτε. 6. Ὁ τοὺς φίλους ἀληθῶς φιλῶν οὐ μόνον λόγοις, ἀλλὰ καὶ ἔργοις ὠφελήσει αὐτούς. 7. Ἀεὶ δεῖ εὖ ποιεῖν καὶ εὖ πονεῖν. 8. "Πάντα ῥεῖ", ἔφη Ἡράκλειτος ὁ φιλόσοφος. 9. Διογένης πρὸς λέγοντά τινα κακὸν εἶναι τὸ ζῆν· "Οὐ τὸ ζῆν", ἔφη, "ἀλλὰ τὸ κακῶς ζῆν". 10. Μηδέποτε δοῦλον ἡδονῆς σαὐτὸν ποίει. 11. Τίς ἂν ἐπαινοίη παῖδας, οἳ ἂν μὴ φιλῶσι τοὺς γονέας; 12. Βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει. 13. Ὀρφεὺς ᾄδων ἐκίνει λίτους τε καὶ δένδρα.



### Praesens et imperfectum medii et passivi verborum in εω

1. Τοὺς ἀγαθοὺς μὴ μόνον ἐπαινεῖτε, ἀλλὰ καὶ μιμεῖσθε. 2. Μηδεὶς αἱρείσθω τὸ ἥδιον μᾶλλον ἢ τὸ βέλτιον. 3. Σικελία ἡ νῆσος τὸ πάλαι Τρινακρία ἐκαλεῖτο. 4. Πονηρὸν ἄνδρα μηδέποτε ποιοῦ φίλον σαυτοῦ. 5. Τοὺς τυράννους οἱ πολῖται ἀεὶ ἐφοβοῦντο καὶ οὐδέποτε ἐφίλουν. 6. Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου. 7. Σαυτὸν μόνον φιλῶν ὑπὸ πολλῶν ἂν μισοῖο. 8. Μιμοῦ τὰ σεμνά, μὴ κακοὺς μιμοῦ τρόπους. 9. Ἀρισταγόρας ὁ Μιλήσιος πρὸς τοὺς πολίτας ἔλεξεν· "Ὦ ἄνδρες, φιλοῦμεν πάντες τὴν ἐλευθερίαν, μισοῦμεν δὲ τὴν δουλείαν ὥσπερ ἄλλοι. Πονῶμεν πάντες, ὅπως ἀποθῶμεν τὴν τῶν Περσῶν τυραννίδα καὶ ὦμεν ἐλεύθεροι ὥσπερ πάλαι.

## Περὶ τῶν ἐν Ὀλυμπίᾳ ἀγώνων.

Οἱ Ἕλληνες τὰς τῶν θεῶν ἑορτὰς ἄγοντες τοὺς θεοὺς μουσικοῖς τε καὶ γυμνικοῖς ἀγῶσιν ἔτερπον. Οὕτως ἐν μὲν τοῖς Δελφοῖς τὸν Ἀπόλλωνα ἐθεράπευον, ἐν δὲ τῷ Κορινθίῳ ἰσθμῷ τὸν Ποσειδῶνα. Ἔνδοξοι δ᾽ ἐν πάσῃ τῇ γῇ ἦσαν οἱ ἀγῶνες οἱ ἐν τῇ Ὀλυμπίᾳ τῷ Διὶ ἀγόμενοι. Τὰ γὰρ σώματα παντὶ τρόπῳ γυμνάζειν καὶ ἆθλα δέχεσθαι μεγίστη ἡδονὴ ἦν τῶν ἐλευθέρων νεανιῶν. Διὰ πέμπτου ἐνιαυτοῦ πολλοὶ ἄνθρωποι εἰς τὴν Ὀλυμπίαν ἧκον ὡς ἢ ἀθλεύσοντες ἢ θεωρήσοντες. Γυναῖκες ἢ παρθένοι ἀθλεύουσαι οὔποτε ἦσαν ἐν τῇ Ὀλυμπίᾳ.

Ἐν τῇ πρώτῃ οὖν τῆς ἑορτῆς ἡμέρᾳ οἱ ἀθληταὶ παρὰ τῷ Διὸς βωμῷ ὅρκον ἔλεγον, ὡς ἀεὶ τὸ προσῆκον ποιήσουσιν, τὰ δὲ μὴ πρέποντα παραλείψουσιν. Μετὰ δὲ τοῦτο τοῖς θεοῖς θύσαντες ἔτρεχον καὶ ἔβαλλον καὶ ἥλλοντο καὶ τὰς ἄλλας τέχνας ἀπεφαίνοντο, ὧν ἕκαστος ἦν ἔμπειρος.



Ἔτι μᾶλλον ὑπὸ πάντων ἐθαυμάζοντο οἱ τὸ πένταθλον ἀγωνιζόμενοι. Οἱ δὲ πλούσιοι ἅρματα σὺν ἵπποις εἰς τοὺς ἐν τῷ ἱπποδρόμῳ ἀγῶνας πέμψαντες πᾶσι μεγίστην ἡδονὴν παρεῖχον.

Οἱ δὲ νικήσαντες ἐδέχοντο ἐκεῖ μόνον στέφανον ἐλαίας. Τῆς δὲ ἑορτῆς τελευτησάσης οἱ πολῖται τοὺς ἐπανερχομένους ἐδέχοντο ὡς θεούς· ποιηταὶ αὐτοὺς καλαῖς ᾠδαῖς ἐθεράπευον καὶ τεχνῖται τοῖς Ὀλύμπια νικήσασιν ἀνδριάντας ἵδρυον. Διὰ παντός τοῦ βίου ὁ Ὀλυμπιονίκης παρὰ πᾶσιν ἐν μεγίστῃ ἦν τιμῇ.

## Praesens et imperfectum activi verborum in αω.

1. Τίμα, ὦ παῖ, τοὺς γονέας. 2. Ἀγαμέμνων, ὁ τῶν Ἀχαιῶν ἡγεμών, πάντων μάλιστα τὸν Νέστορα ἐτίμα διὰ τὴν σωφροσύνην καὶ διὰ τὸ γῆρας. 3. Σωκράτης πρός τινα ἐρωτῶντα αὐτόν, τίνι διαφέρει τῶν ἄλλων ἀνθρώπων, "Οἱ μὲν ἄλλοι", ἔφη, "ζῶσιν, ἵνα ἐσθίωσιν, ἐγὼ δ᾽ ἐσθίω, ἵνα ζῶ". 4. Οἱ ’Αθηναῖοι μάλιστα ἐτίμων ’Αθηνᾶν καὶ Ποσειδῶνα καὶ Ἑρμῆν. 5. Θεμιστοκλῆς νέος ἔτι ὢν ἔλεγεν, ὅτι αὐτὸν τὸ τοῦ Μιλτιάδου τρόπαιον τοῦ ἐν Μαραθῶνι νικήσαντος οὐκ ἐῴη καθεύδειν. 6. Θεμιστοκλῆς ἐρωτώμενος, πότερον μᾶλλον ἂν ’Αχιλλεὺς ἢ Ὅμηρος βούλοιτο εἶναι· "Συ δ᾽ αὐτός", ἔφη, "πότερον μᾶλλον ἂν βούλοιτο ὁ νικῶν ἐν Ολυμπίᾳ ἢ ὁ κηρύττων τοὺς νικῶντας εἶναι. 7. Οἱ Σύριοι ἐτίμων τοὺς ἰχθῦς ὡς θεούς. 8. Διὰ τί ἐσίγας, ὅτε ὁ πατὴρ ἠρώτα σέ. 9. Σιγῶμεν τῶν γερόντων λεγόντων.

## Praesens et imperfectum medii et passivi verborum in αω

1. Ὑπ᾽ ἐσθλῶν ἀνδρῶν ἀγαπᾶσθαι καὶ τιμᾶσθαι μεγάλη δόξα ἐστίν. 2. Οἱ γέροντες ὑπὸ τῶν νεῶν τιμάσθων. 3. Μετὰ τὴν τῆς Τροίας ἅλωσιν Ὀδυσσεὺς πολὺν χρόνον καὶ ἐν τῇ γῇ καὶ ἐν ταῖς θαλάτταις

ἐπλανᾶτο. 4. Οὐ χρυσῷ οὐδ᾽ ἀργύρῳ κτώμεθα τοὺς φίλους, ἀλλὰ τῷ τῆς ψυχῆς κάλλει. 5. Πῶς ἂν ῥᾷον κτῴμεθα τοὺς φίλους ἢ εὐεργετοῦντες καὶ ὠφελοῦντες αὐτούς. 6. Ὁ τοῖς χρήμασι μὴ χρώμενος οὐδὲν διαφέρει τοῦ μηδὲν ἔχοντος. 7. Πολλοὶ ἄνθρωποι σπουδαίως μὲν κτῶνται τὰ χρήματα, κτήσαμενοι δ᾽ οὐ χρῶνται αὐτοῖς καλῶς. 8. Οἱ βάρβαροι ἐν πολλαῖς μάχαις ὑπὸ τῶν Ἑλλήνων ἐνικῶντο. 9. Τὰ τῶν ἡττωμένων χρήματά ἐστι τῶν νικώντων. 10. Ὀργὴν ἑταίρου καὶ φίλου πειρῶ φέρειν.

## Οὐδὲν γλυκύτερον τῆς πατρίδος.

Οὐδὲν τιμιώτερον καὶ ἁγιώτερον καὶ γλυκύτερόν ἐστι τῆς πατρίδος. Αὕτη γὰρ ἡμᾶς γεννᾷ καὶ τρέφει καὶ παιδεύει, αὕτη τὰ μέγιστα ἡμᾶς εὐεργετεῖ. Δεῖ οὖν ἡμᾶς ἀγαπᾶν καὶ τιμᾶν τὴν πατρίδα ἅπαντα ποιοῦντας, ἃ ἂν κελεύῃ. Ὅταν δὲ κινδυνεύουσαν αὐτὴν καὶ βοηθείας δεομένην ὁρῶμεν, ὁρμῶμεθα ἐπὶ τοὺς πολεμίους καὶ γενναίως μαχώμεθα καὶ, εἰ δέοι, τελευτῶμεν ὑπὲρ τῆς πατρίδος· κάλλιον γὰρ ἐν πολέμῳ τελευτῆσαι ἢ μετὰ τὴν ἧτταν αἰσχρῶς ζῆν. Τοὺς μὲν γὰρ νικῶντας ἀγαπῶσι πάντες καὶ τιμῶσι, τοὺς δ᾽ ἡττωμένους μισοῦσι καὶ λοιδοροῦσιν. ᾿Αγαπᾶτε οὖν, ὦ νεανίαι, τὴν πατρίδα μηδέ τις ὑμῶν τολμῴη ποτ᾽ αὐτὴν ὁπωσοῦν βλάψαι.

## Praesens et imperfectum activi verborum in οω.

1. Ὁ χρόνος πάντα τὰ ἄδηλα δηλοῖ. 2. Ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις. 3. Γενναίου πολίτου ἐστὶν ἀεὶ μετὰ παῤῥησίας δηλοῦν τὴν γνώμην, ἥντινα ἔχει. 4. Πάντες ἀξιοῦμεν κατὰ τοὺς νόμους ζῆν. 5. Οἱ ποιηταὶ πολλάκις ὁμοιοῦσι τὰ τῶν ἀνθρώπων γένη τοῖς τῶν δένδρων φύλλοις. 6. Τοὺς ἀγαθοὺς ζηλῶν μάλιστα ἂν δηλοίης τὴν σαυτοῦ σωφροσύνην. 7. Οἱ νόμοι μὴ μόνον ζημιούντων τοὺς ἀδίκους, ἀλλά καὶ ὠφελούντων τοὺς δικαίους. 8. Τοὺς γεραιτέρους οἱ Λακεδαιμόνιοι



μεγίστων τιμῶν ἠξίουν· οὐδὲν γὰρ ἧττον αὐτοὺς ᾐδοῦντο ἢ τοὺς πατέρας. 9. Ζηλοῦ τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα. 10. Μιλτιάδης σώφροσι καὶ ὀξέσι λόγοις τοὺς πολίτας πείθει δηλοῦν, ὅτι τῆς ἐλευθερίας ἄξιοί εἰσιν. 11. Μετὰ τὴν ἐν Μαραθῶνι μάχην πᾶσα ἡ Ἑλλὰς ἐπληροῦτο τῆς τῶν ᾿Αθηναίων δόξης. 12. Μιλτιάδης νικήσας τοὺς Πέρσας νεανίαν ᾿Αθήναζε ἔπεμψεν, ἵνα τοὺς ἐκεῖ φόβου ἐλευθεροῖ.

## Praesens et imperfectum medii et passivi verborum in οω.

1. Μὴ θυμοῦ δικαίως ζημιούμενος. 2. Οἱ τοὺς εὐεργέτας κακῶς ποιοῦντες ἰσχυρῶς ζημιούσθων. 3. Ὑπὸ τῶν σοφῶν ὁ μὲν λόγος ὁμοιοῦται τῷ ἀργύρῳ, ἡ δὲ σιγὴ τῷ χρυσῷ. 4. Οἱ ἐν τοῖς Ἑλλήνων ἀγῶσι νικήσαντες ἐστεφανοῦντο· αὕτη γὰρ μεγίστη τιμὴ ἦν. 5. Οἱ τῶν ἀνθρώπων τρόποι μᾶλλον ἐκ τῶν ἔργων δηλοῖντο ἂν ἢ ἐκ τῶν λόγων. 6. Ἀριστοτέλης ἔλεγεν, ὅτι ὁ χρυσὸς μόνος οὐ πυροῦται. 7. Αἱ τῶν Ἑλλήνων πόλεις καὶ κῶμαι

ὑπὸ τῶν Περσῶν ἐπυροῦντο. 8. Οἱ Ἀθηναῖοι μάλα ἐφοβοῦντο, μὴ καὶ αὐτοὶ ὁμοίως ὑπὸ τῶν Περσῶν δουλοῖντο καὶ ἡ πόλις πυροῖτο.

## Λέων, ἀλώπηξ καὶ ἔλαφος.

Λέων νοσῶν καλεῖ τὴν ἀλώπεκα καὶ λέγει· "Εἰ ἐθέλεις με ζῆν, τὴν ἔλαφον τὴν μεγίστην, τὴν ἐν τῇ ὕλῃ οἰκοῦσαν, γλυκέσι λόγοις ἐξαπατήσασα, ἄγε εἰς τὰς ἐμὰς χεῖρας· ἀποθνῄσκω γὰρ ὑπὸ λιμοῦ". Ἡ οὖν ἀλώπηξ ἀναζητήσασα τὴν ἔλαφον ἐν τῇ ὕλῃ· "Χαῖρε", ἔφη, "ἀγαθά σοι δηλῶ· ὁ βασιλεὺς ἡμῶν νοσεῖ καὶ ἐγγύς ἐστι τοῦ θανάτου. Ἐβουλεύετο οὖν, ποῖον τῶν θηρίων μετ᾽ αὐτὸν βασιλεύσει, ἡγεῖτο δὲ σὲ πάντων ἀξιωτάτην εἶναι τῆς βασιλείας καὶ τὸ εἶδος ὑψηλὴν οὖσαν καὶ πολλὰ ἔτη ζῶσαν καὶ κέρα ἔχουσαν



μεγαλοπρεπῆ. Μὴ οὖν φοβοῦ μηδ᾽ ἐναντιοῦ, ἀλλ᾽ ὡς τάχιστα σπεῦδε πρὸς τὸν τελευτῶντα. Καὶ ἡ ἔλαφος ἐπίστευε τῷ κόλακι· ὁ δὲ λέων αὐτῇ εἰσερχομένῃ σὺν σπουδῇ ἐφορμήσας ἡδὺ δεῖπνον ἑαυτῷ παρεσκευάσατο.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τῶν ἀρχῶν καὶ τιμῶν ἐπιθυμοῦντες τοὺς κινδύνους οὐ κατανοοῦσιν.

## Ἡρακλῆς τὴν τῆς ἀρετῆς ὁδὸν αἱρεῖται.

I

Ἡρακλῆς ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο, ἐν ἀπορίᾳ ἦν, εἴτε τὴν δι᾽ ἀρετῆς ὁδὸν τέμνοι ἐν τῷ βίῳ, εἴτε τὴν δι᾽ ἡδονῆς. Ἀποροῦντι δ᾽ αὐτῷ καὶ ἐν ἡσυχίᾳ περὶ τούτων ἐνθυμουμένῳ φαίνονται δύο γυναῖκες καλαὶ καὶ μεγάλαι. Ὧν ἡ μὲν ἑτέρα προστρέχουσα λέγει· "Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα, ποίαν ὁδὸν ἐν τῷ βίῳ τέμνῃς. Ἐὰν οὖν ἐμοὶ ἕπεσθαι ἐθέλῃς, τὴν ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἐγώ σε ἄξω. Βιώσῃ δ᾽ εὐδαίμων καὶ ἄπειρος λυπῶν καὶ φροντίδων ἃ δ᾽ οἱ ἄλλοι ἐργάζονται τούτοις σὺ χρήσῃ οὐδὲν πονούμενος αὐτός". Καὶ Ἡρακλῆς ἀκούσας ταῦτα· "Ὦ γύναι", ἔφη, "ὄνομα δέ σοι τί ἐστιν;" Ἡ δὲ· " Οἱ μὲν ἐμοὶ φίλοι", ἔφη, "καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντές με ὀνομάσουσι Κακίαν".

II

Καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσέρχεται αὐτῷ καὶ λέγει· "Καὶ ἐγὼ ἥκω πρὸς σέ, ὦ Ἡράκλεις· οὐ γὰρ ἄπειρος οὖσα τῶν σῶν γονέων καὶ τῆς σῆς φύσεως τὰ ἄριστά σοι συμβούλευσειν ἐλπίζω. Οὐδ᾽ ἐξαπατήσω σε προοιμίοις ἡδονῆς, ἀλλὰ τὰ ὄντα διηγήσομαι μετ᾽ ἀληθείας. Τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώποις· ἀλλ᾽ εἴτε τοὺς θεοὺς εὐμενεῖς εἶναι σοι βούλει, θεραπεύειν χρὴ τοὺς θεούς, εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους χρὴ εὐεργετεῖν, εἴτε ὑπὸ

τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, ὠφελεῖν χρὴ τὴν πόλιν, καὶ τὰ ἀλλὰ ὁμοίως. Πείθου οὖν ἐμοὶ μηδὲ φεῦγε πόνους καὶ κινδύνους, εἰ ὡς ἀληθῶς εὐδαιμονεῖν ἐθέλεις".

III

"Εἰ δὲ μανθάνειν ἐπιθυμεῖς, τίς ἐγώ εἰμι, ἐγώ σοι φράσω. Ἀρετή ἐστι τὸ ἐμὸν ὄνομα· σύνειμι δὲ τοῖς ἀγαθοῖς ἀνθρώποις· ἔργον δὲ καλὸν ἀνθρώπινον χωρὶς ἐμοῦ οὐ γίγνεται. Τιμῶμαι δὲ μάλιστα καὶ παρὰ ἀνθρώποις, ἀγαθὴ καὶ βεβαία σύμμαχος οὖσα αὐτοῖς καὶ τῶν ἐν εἰρήνῃ καὶ τῶν ἐν πολέμῳ ἔργων. Πάντες δὲ δι᾽ ἐμὲ φίλοι γίγνονται ἀλλήλοις. Μετὰ δὲ τὸν θάνατον οὐ μετὰ λήθης ἄτιμιοί εἰσιν, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον θάλλουσιν". Καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα οὐκ ὤκνει τῇ Ἀρετῇ ἕπεσθαι.

## Ἄρκτος, Μῦθος Αἰσώπειος.

Ἄρκτος ἔλεγεν, ὅτι φιλανθρωπότατός ἐστι πάντων τῶν ζῴων· νεκροὺς γὰρ οὐκ ἐσθίει. Ἡ δ᾽ ἀλώπηξ ἀκούσασα ἔλεξεν· "Εἴθε τοὺς νεκροὺς ἤσθιες καὶ οὐ τοὺς ζῶντας.

## Coniunctivus, optativus et imperativus aoristi I activi.
## Verba pura et muta.

1. Τιμᾶτε τὸν ἄνδρα, ὃν ἂν τιμήσῃ ἡ πόλις. 2. Μὴ πράξητε μηδὲν αἰσχρόν· εἰ γὰρ αἰσχρόν τι πράξετε, καταφρονήσουσιν ὑμῶν οἱ ἄνθρωποι. 3. Νίκησον τὴν ὀργήν. 4. Βοηθήσατε τοῖς φίλοις. 5. Εἴθε παύσειάς ποτε τὴν σὴν ὀργήν. 6. Κρέων ἐπέταξε τοῖς θεράπουσι τὸ Πολυνείκους σῶμα φυλάξαι, ἵνα μηδεὶς θάψειεν· Ἀντιγόνη δέ, ἡ τοῦ Πολυνείκους ἀδελφή, κρύφα αὐτὸ κλέψασα ἔθαψεν. 7. Τὸν ἄφρονα οὐκ ἂν πείσαις. 8. Οἱ μὲν πολῖται φυλαξάντων τὴν πόλιν, οἱ



δὲ στρατιῶται διωξάντων τοὺς πολεμίους. 9. Τίς ἂν τῶν ἀνθρώπων πλούσιον Κροῖσον νομίσαι εὐδαίμονα; 10. Τίς ἂν πιστεύσειέ σοι τοιαῦτα λαλούσῃ; 11. Πρᾶξον τὰ σαυτοῦ καὶ τὰ τῶν ἄλλων φρόνει.

## Coniunctivus, optativus et imperativus aoristi medii.
## Verba pura et muta.

1. Οὐ παύσομαι οὐδέποτε σπουδαίως μανθάνων· ἐὰν γὰρ παύσωμαι, ἐμαυτὸν βλάψω. 2. Σὺ μέν, ὦ φίλε, μὴ περὶ πλείστου τὰ χρήματα ποιοῦ· κτησάμενος γὰρ τάχ᾽ ἂν κακῶς χρήσαιο αὐτοῖς. 3. Καλόν τι ἔργον διαπράξασθαι βουλόμενοι βουλευσώμεθα πρὸ τοῦ ἔργου. 4. Εἴθε μήποτε, ὦ νεανίαι, κακοῦ ἔργου ἅψαισθε. 5. Εὐκλείδης ἀκούσας τοῦ ἀδελφοῦ λέγοντος· "Ἀποθνήσκοιμι ἄν, εἰ μή σε τιμωρησαίμην", "Ἐγὼ δέ" , ἔφη, "εἰ μή σε

φιλεῖν ἐμὲ πείσαιμι". 6. Οἱ τοῦ Κλεάρχου στρατιῶται πολλὰ χρήματα κτήσεσθαι ἤλπιζον, εἰ στρατεύσαιντο ἐπὶ τὴν Ἀσίαν. 7. Λόγισαι, πρὶν ἀποκρίνεσθαι. 8. Πρὸ τῆς μάχης οἱ μὲν στρατηγοὶ συμβουλευσάσθων, οἱ δὲ στρατιῶται παρασκευασάσθων. 9. Πῶς ἂν μεθύων ἀνὴρ χρηστόν τι βουλεύσαιτο;

## Βάτραχοι αἰτοῦντες βασιλέα.

Βάτραχοι λυπούμενοι ἐπὶ τῇ αὐτῶν ἀναρχίᾳ ἱκέτευον τὸν Δία, ὅπως αὐτοῖς βασιλέα πέμψειεν. Ὁ δὲ χαρισάμενος αὐτοῖς ξύλον εἰς τὴν λίμνην ἔῤῥιψεν. Καὶ οἱ βάτραχοι τὸ μὲν πρῶτον δεινῷ φόβῳ κατεχόμενοι οὐκ ἐτόλμησαν τῷ βασιλεῖ πλησιάσαι· ὕστερον δέ, ὡς ἀκίνητον ὁρῶσι τὸ ξύλον, τοσοῦτον κατεφρόνησαν αὐτοῦ, ὥστε ἐπέβαινον καὶ ἐπεκαθέζοντο αὐτῷ. Εἷς δέ τις αὐτῶν σύλλογον ποιησάμενος ἔλεξεν ὧδε· Ἔγωγε, ὦ φίλοι, τὸν τοιοῦτον ἀνάξιον ἂν νομίσαιμι ἡμῶν ἄρχειν· εἰ γὰρ τῷ τοιούτῳ δουλεύσαιμεν, μεγάλην αἰσχύνην περιάψαιμεν ἂν τῇ πόλει. Πέμψωμεν οὖν πρέσβεις παρὰ τὸν



Δία, ἵν' ἡμῖν τὸν ἄρχοντα μεταλλάξῃ. Καὶ οὕτως ἐποίησαν. Τότε δὲ Ζεὺς ἀγανακτήσας κατ' αὐτῶν, ὕδραν αὐτοῖς ἔπεπεμψεν, ὑφ' ἧς συλλαμβανόμενοι κατησθίοντο.

## Περὶ Ὀδυσσέως.

Ἀνδρείως μὲν Ὀδυσσεὺς ὁ Ἰθακήσιος ἐν τῷ πολέμῳ ἐμάχετο, σοφῶς δ' ἐν ταῖς ἀγοραῖς συνεβούλευε τοῖς πολίταις. Θαυμάσιον ἔργον τῆς σοφίας αὐτοῦ ἦν ὁ ξύλινος ἵππος. Οὗτος δὲ ὁ ἵππος μεστὸς ἦν ὁπλιτῶν, καὶ οὗτοι, ὅτε τὸ θηρίον νύκτωρ ἦν τῇ Τροίᾳ, τοῦτο λάθρᾳ ἀνοίγουσι καὶ ἄρχονται ἀποκτείνειν τε καὶ κάειν.

Μετὰ δὲ τὴν Τροίας ἀπώλειαν ὁ Ὀδυσσεὺς οὐδὲν ἄλλο ἤθελεν ἢ ἥκειν οἴκαδε· ἀλλ' ἐν τῇ θαλάττῃ κακῶς ἔπραττεν. Παρῆν μὲν αὐτῷ ἀπὸ τῆς Τροίας ἐπανερχομένῳ ἡ Ἀθηνᾶ. Αὕτη γὰρ ἡ θεὰ τούτῳ τῷ δολερῷ ἀνθρώπῳ ἐχαρίζετο ἐκ τῆς ἀρχῆς τῆς τούτου τοῦ πολέμου. Ἀλλ' ὠργίζετο αὐτῷ δεινῶς ὁ Ποσειδῶν διὰ τὸν υἱὸν Πολύφημον. Ἐπεὶ γὰρ οἱ Ἰθακήσιοι ἥκουσι πρὸς τὴν τῶν μονοφθάλμων νῆσον, Ὀδυσσεὺς τὸν τοῦ Πολυφήμου ὀφθαλμὸν δολερῶς ἐκκάει. Ἐν δὲ ἄλλαις νήσοις νύμφαι ἐβιότευον – ἐν ταύταις ἦσαν ἡ Κίρκη καὶ ἡ Καλυπψώ – καὶ ἔμενεν ὁ Ὀδυσσεὺς μακρὸν χρόνον παρ' αὐταῖς. Ἀλλ' ἐν τούτῳ τῷ χρόνῳ τὰ πλοῖα καὶ οἱ ἑταῖροι ὅλως διεφθείροντο.

Ὀδυσσεὺς δὲ αὐτὸς καίπερ ἀγρίοις ἀνέμοις πληττόμενος εἰς τὴν Σχερίαν σῴζεται καὶ φίλως ξενίζεται ὑπὸ τῶν ἐνοίκων. Οἱ δὲ αὐτοὶ τάχα εἰς τὴν Ἰθάκην αὐτὸν ἄγουσιν.

## Futurum activi et medii. Verba liquida.

I. Ἐὰν μὴ φυλάττῃς τὰ μικρὰ , ἀποβαλεῖς τὰ μείζονα. 2. Οἱ ἀνδρεῖοι στρατιῶται οὐ λείψουσι τὴν τάξιν, ἀλλὰ μενοῦσιν, οὗ ἂν

ἕκαστον ὁ ἄρχων τάξῃ. 3. Λέγοντός τινος, ὅτι πολλοί εἰσιν οἱ πολέμιοι, Σπαρτιάτης τις "Καλόν γε, ἔφη, πλείους γὰρ ἀποκτενοῦμεν". 4. Οἱ ᾽Αθηναῖοι ἐν Μαραθῶνι νικήσαντες ἄγγελον ἔπεμψαν εἰς τὰς ᾽Αθήνας ἀγγελοῦντα τὴν νίκην. 5. Ἐρώτα, ὅτι ἂν βούλῃ, ἀποκρινοῦμαί σοι. 6. Ὁ σπουδαῖος μαθητὴς ἀεὶ καλῶς ἀποκρινεῖται ἐρωτώμενος ὑπὸ τοῦ διδασκάλου. 7. Ὅταν τὸν σῖτον θερίσητε, βοηθοὺς ὑμῖν ἀποστελοῦμεν. 8. Ἄνευ ὁμονοίας μὴ ἐλπίζετε, ὦ πολῖται, ἀμυνεῖσθαι τοὺς πολεμίους. 9. Ἀεὶ λέγων τἀληθὲς οὐ σφαλῇ ποτε.

## Aoristus I activi et medii. Verba liquida.

1. ᾽Αχιλλεὺς πολλοὺς Τρῶας ἀπέκτεινε τιμωρούμενος ὑπὲρ τοῦ φίλου. 2. Μὴ χαλεπαίνῃς τῷ δικαστῇ δικαίως κρίναντι· τοῦ γὰρ δικαστοῦ ἐστι δικαίως κρίνειν. 3. Οὐ ῥᾴδιόν ἐστι διακρῖναι τὸν κόλακα καὶ τὸν φίλον. 4. Ἀλέξανδρος ἀποθνῄσκων οὐκ ἀπεφήνατο, ᾧτινι καταλείποι τὴν ἀρχήν· διενείμαντο οὖν τὴν ἀρχὴν οἱ στρατηγοὶ αὐτοῦ. 5. Ἀπόφηναι, ὦ φίλε, μετὰ παῤῥησίας τὴν γνώμην, ἥντινα ἔχεις. 6. Μίλων ὁ ἀθλητὴς ταῦρον ἀράμενος ἐν Ὀλυμπίᾳ ἔφερε διὰ μέσου τοῦ σταδίου. 7. Τὸ ἔργον, ὃ οὔπω ἐπεράναμεν, ὡς τάχιστα περανοῦμεν. 8. Μενοῦμεν, ἕως ἂν τὸ ἔργον περάνητε. 9. Ἄγγειλον εὐθύς, πόσων ἂν χρημάτων δέῃ.

### Περὶ Βελλεροφόντου.

I

Βελλεροφόντης, τῆς Κορίνθου βασιλέως υἱός, ἄκων ἀποκτείνας τὸν ἀδελφὸν φεύγει ἐκ τῆς πατρίδος. Ἐπεὶ δ᾽ ἧκε πρὸς Προῖτον, τῆς Τίρυνθος βασιλέα, φίλον ὄντα πατρῷον, δεῖται αὐτοῦ καθῆραι αὐτὸν τοῦ φόνου. Προῖτος οὖν ἐκάθηρεν αὐτόν, καθήρας δ᾽ ἔλεξεν· "Ἀνδρὸς φίλου παῖς ὢν ἥκεις παρ᾽ ἐμέ· μεῖνον οὖν παρ᾽ ἐμοί, εἰ βούλει, οὐδενὸς δὲ χρήματος ἀπορήσεις". Καὶ ὁ Βελλεροφόντης ἔμεινε παρὰ τῷ Προίτῳ.



Μετὰ δ᾽ ὀλίγον χρόνον διαβάλλεται τῷ βασιλεῖ, ὡς ἐπιβουλεύοι αὐτῷ. Ὁ οὖν Προῖτος ἀπιστῶν μὲν τῷ ξένῳ, αἰδούμενος δ᾽ ἀποκτεῖναι, πρὸς Ἰοβάτην, τῶν Λυκίων βασιλέα, ἀπέστειλεν αὐτὸν ἐπιστολὴν ἐγχειρίσαι κελεύσας· ἐν τῇ ἐπιστολῇ ἔγραψε τῷ Ἰοβάτῃ τὸν νεανίαν διαφθεῖραι.

II

Κατὰ τὸν αὐτὸν χρόνον διέφθειρε τὴν τῶν Λυκίων χώραν ἡ Χίμαιρα, δεινὸν θηρίον, σῶμα μὲν λέοντος, οὐρὰν δὲ δράκοντος, κεφαλὴν δ᾽ αἰγὸς ἔχουσα, ἐκ δὲ τοῦ στόματος πῦρ ἀναπνέουσα. Ταύτην οὖν τὴν Χίμαιραν ὁ Ἰοβάτης ἀποκτεῖναι ἐπέταξε τῷ Βελλεροφόντῃ, διαφθερεῖν ἐλπίζων τούτῳ τῷ τρόπῳ τὸν ξένον. Ὁ δὲ Βελλεροφόντης τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἄρας ηὔχετο τῇ ᾽Αθηνᾷ· ἡ δὲ θεὰ ἔπεμψεν αὐτῷ τὸν Πήγασον, πτηνὸν ἵππον, ἐφ᾽ ὃν ἀναπηδήσας ὁ Βελλεροφόντης αἱρεται εἰς ὕψος καὶ κατατοξεύει τὴν Χίμαιραν. Ἐπεὶ δὲ μετὰ ταῦτα ἄλλα πολλὰ καὶ λαμπρὰ ἔργα ἐπέρανεν, ἃ αὐτῷ ὁ Ἰοβάτης ἐπέταξεν, μεγάλην δ᾽ ἐκ τούτων ἐκτήσατο δόξαν, ὁ βασιλεὺς πρὸς αὐτὸν ἔλεξεν· " Ὁρῶ σε ἄνδρα μὲν ὄντα δεινὸν καὶ ἀγαθόν, μεῖνον οὖν παρ᾽ ἐμοί, ἵνα τελευτήσαντος ποτ᾽ ἐμοῦ τῶν Λυκίων ἄρχῃς.

## Futurum atticum.

1. Μακαρίζω καὶ ἀεὶ μακαριῶ τοὺς ὑπὲρ τῆς πατρίδος τελευτήσαντας. 2. Πλούτιζε τοὺς φίλους· τοὺς γὰρ φίλους πλουτίζων σαυτὸν πλουτιεῖς. 3. Τὴν μὲν ὁμόνοιαν ἐν τῇ πόλει φυλάττοντες, τὰς δὲ στάσεις φεύγοντες τὴν πατρίδα ὠφελήσομεν καὶ ἡμῖν αὐτοῖς πολλὰ ἀγαθὰ ποριοῦμεν. 4. Ὡμολόγησαν οἱ πολέμιοι μὴ τειχιεῖν τὴν αὑτῶν πόλιν. 5. Οἱ Ἕλληνες τῷ Κύρῳ συστρατευόμενοι μεγάλην δόξαν καὶ μεγάλην λείαν κομιεῖσθαι ἤλπιζον. 6. Ὅδε ἦν ὁ τῶν ’Αθήνησι δικαστῶν ὅρκος· Περὶ ὧν μὲν νόμοι εἰσι, ψηφιοῦμαι κατὰ τοὺς νόμους, περὶ δ᾽ ὧν μή εἰσι, σὺν γνώμῃ δικαιοτάτῃ. 7. Ἐνόμισά σε ὀργιεῖσθαι. 8. Ἐλπίζω τὸν



ξένον ἡμῖν χαριεῖσθαι. 9. Ὁ Σόλων ἔλεγεν οὐδένα μακαριεῖν, πρὶν ἂν τὸν βίον τελευτήσῃ.

## Aoristus II activi.

I. Οἱ ’Αθήναῖοι ἐξέβαλον Θεμιστοκλέα ἐκ τῆς χώρας, ὁ δ᾽ ἔφυγε πρὸς βασιλέα. 2. Σόλων ἐπὶ σοφίᾳ καὶ ἀνδρείᾳ μεγάλην δόξαν κατέλιπεν. 3. Φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥᾴδιόν ἐστιν. 4. Νιόβη μετὰ τὸν τῶν παίδων θάνατον τὰς Θήβας ἀπολιποῦσα πρὸς Τάνταλον τὸν πατέρα ἧκεν εἰς Σίπυλον. 5. Τὰ μὲν ἄλλα κακὰ ἐκφύγοις ἄν, τὸν δὲ θάνατον οὐκ ἔστιν ἐκφυγεῖν. 6. Φυλάττου, μὴ τῶν μεγάλων ὀρεγόμενος καὶ τὰ μικρὰ ἀποβάλῃς. 7. Ὅτε Λεωνίδας μετὰ τῶν τριακοσίων ἐν ταῖς Θερμοπύλαις ἐτελεύτησεν, ὁ δὲ Ξέρξης εἰς τοὺς Φωκέας τὸ στράτευμα προῆγεν, οἱ ’Αθεναῖοι ἔλιπον τὴν πόλιν, γυναῖκας δὲ καὶ τέκνα ἤγαγον εἰς Σαλαμῖνα. 8. Οὐδεὶς ἄλυπος τὸν βίον διήγαγεν. 9. Ἐν τῇ Θρᾴκῃ Ξέρξης μέγαν ἀριθμὸν ἐποίησεν, ἵνα ἴδῃ, πόσοι στρατιῶται αὐτῷ εἶεν.

## Aoristus II medii

1. Μιλτιάδης μόνος ἐνδόξων ’Αθηναίων κατελίπετο υἱὸν ὅμοιον τῷ πατρὶ ἢ καὶ μείζω αὐτοῦ. 2. Οἱ πολέμιοι εἰσέβαλον εἰς τὴν χώραν· ποῖ νῦν τραπώμεθα, ποῖ καταφύγωμεν, ὦ φίλοι; 3. Οἱ ’Αθήναῖοι ἐν μικρῷ χρόνῳ τὴν πόλιν τείχει περιεβάλοντο. 4. Ταχὺ πρὸς τὸ ἔργον τράπεσθε, ὦ νεανίαι· οἱ γὰρ ταχὺ πρὸς τὸ ἔργον τρεπόμενοι ταχέως ἐξανύτουσιν αὐτό. 5. Εἴθε μήποτε εἰς φυγὴν τράποισθε, ὦ στρατιῶται· πολὺ γὰρ κάλλιον ἐν τῇ μάχῃ τελευτῆσαι ἢ φυγεῖν. 6. Χρηστῷ ἀνδρὶ οὐκ ἔστι μείζων ἡδονὴ ἢ υἱὸν καταλιπέσθαι αὐτῷ ὅμοιον. 7. Οἱ Ἕλληνες εἰσηγάγοντο πολλοὺς θεοὺς ἐξ ἀλλοτρίων ἐθνῶν· ἡ δὲ τῶν Ῥωμαίων βουλὴ ἐκώλυσε θεοὺς ξένους εἰσάγεσθαι. 8. Οὐκ ἄν ποτε δίκαιος ἄδικος γένοιτο. 9. Κῦρος ὑπέσχετο οἴκαδε τοὺς φυγάδας καταγαγεῖν.



## Λύκος καὶ οἶς.

Λύκος οἶν ἐδίωκεν· ἡ δ᾽ εἰς ἱερόν τι κατέφυγεν. Ὁ δὲ λύκος κατεσθίειν αὐτὴν βουλόμενος ἔλεξε τάδε. "Ἐγὼ μὲν συμβουλεύω σοι τὸ ἱερὸν ἀπολιπεῖν καὶ φυγεῖν· ἐὰν γὰρ μὴ φύγῃς, φοβοῦμαι, μὴ ὁ ἱερεύς σε πρὸς τὸν βωμὸν ἀγάγῃ καὶ ἀποσφάξῃ. ’Αλλ᾽ ὡς τάχιστα τραποῦ

καὶ φύγε· ὁρῶ γὰρ ἤδη τὸν ἱερέα προσερχόμενον". Ἡ δ' οἶς πρὸς ταῦτα· " 'Αλλ' οὐ πείσεις με, ὦ κακοῦργε", ἔφη, "ἐνθένδε φυγεῖν καὶ ἄλλοσέ ποι τραπέσθαι· εἰ γὰρ τοῦτον τὸν τόπον, ὅς μοι ἀσφάλειαν παρέχει, ἀπολίποιμι, οὐκ ἂν ἐκφύγοιμι τὸν θάνατον· οὐ γὰρ ἀγνοῶ , ὅτι εὐθὺς διασπάσεις με". Ὁ μὲν οὖν λύκος μετὰ λύπης πάλιν ἐτράπετο εἰς ὕλην , τὴν δ' οἶν ὁ ἱερεὺς εἰς ἀγέλην κατήγαγεν.

## Indicativus aoristi I passivi.

1. Χάριν μεγάλην ἔχω τοῖς τε γονεῦσι καὶ τοῖς διδασκάλοις, ὅτι καλῶς ὑπ' αὐτῶν ἐπαιδεύθην. 2. Κῦρος ὑπὸ τοῦ πατρὸς κατεπέμφθη σατράπης τῆς Λυδίας καὶ τῆς Φρυγίας καὶ τῆς Καππαδοκίας. 3. Ξενοφῶν θαυμάζει, τίνι τρόπῳ ἐπείσθησαν οἱ 'Αθηναῖοι Σωκράτη ἄξιον εἶναι θανάτου. 4. Χάριν ἔχωμεν τοῖς φίλοις· ἐκ δεινῶν γὰρ κινδύνων ἐσώθημεν ὑπ' αὐτῶν. 5. 'Ανταλκίδας ὁ Λακεδαιμόνιος 'Αθηναίου τινὸς λέγοντος· "Ὑμεῖς ἀπὸ τοῦ Κηφισοῦ πολλάκις ὑφ' ἡμῶν ἐδιώχθητε" , "ὑμεῖς δέ, ἔφη, " οὔποτε ἀπὸ τοῦ Εὐρώτου. 6. Ἐπεὶ τῷ στρατηγῷ ἡ τῶν πολεμίων φυγὴ ἠγγέλθη, ἱππέας ἔπεμψε διώξοντας αὐτούς. 7. Ἡ 'Αττικὴ χώρα 'Αθηνᾶς ἐκρίθη ὑπὸ τῶν θεῶν, ὅτι πρῶτον τὴν ἐλάαν ἐν αὐτῇ ἐφύτευσεν. 8. Πυθαγόρας ἐρωτηθείς, τί ἐστι φίλος· "Ἄλλος ἐγώ ", ἐφη.



## Coniunctivus, optativus, imperativus, infinitivus et participium aoristi I passivi.

1.Ἄνευ ὁμονοίας οὔτ' ἂν πόλις καλῶς πολιτευθείη, οὔτ' ἂν οἶκος εὖ οἰκηθείη. 2.Ἀνάχαρσις ὁ Σκύθης ἐρωτηθεὶς ὑπὸ τινος, τί ἐστι πολέμιον ἀνθρώποις· "Αὐτοί", ἔλεξεν "ἑαυτοῖς". 3. Τὸ πραχθὲν οὐκ ἂν κωλύσαις. 4. Ῥώμη ὑπὸ Ῥωμύλου καὶ Ῥέμου κτισθῆναι λέγεται. 5. Ἐὰν μὲν δίκαια πράττῃς, μηδὲν φοβηθῇς. 6. Πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς. 6.Τίς οὐκ ἂν αἰσχυνθείη βλάπτειν τὸν εὐεργέτην; 7. Τὰ Θεμιστοκλέους ὀστᾶ λέγεται κομισθῆναι ἐκ τῆς 'Ασίας κρύφα εἰς 'Αθήνας. 8. Ἑταῖρον ἀτυχοῦντα ἢ ἀποροῦντα λιπὼν οὐκ ἄν ὀνομασθείης πιστὸς φίλος. 9. Τῶν στρατιωτῶν ἐστι πεισθῆναι· ὅπου ἂν τις ταχθῇ, ἐκεῖ ἀνδρείως ποιησάτω τὰ δέοντα. 10. Δουλωθῆναι τοῖς Ἕλλησιν αἴσχιστον ἦν. 11. Πειράθητι, ὦ παῖ, μιμεῖσθαι τοὺς τοῦ σεαυτοῦ δήμου ἀρίστους. 12. Τῶν παλαιῶν φιλοσόφων οἱ μὲν ἔλεγον, ὅτι πάντα κινεῖται, οἱ δέ, ὅτι οὐδὲν ἄν ποτε κινηθείη.

## Futurum I passivi.

1. Πόλις ἄνευ νόμων ἐν βραχεῖ χρόνῳ καταλυθήσεται. 2. Ὃ μέλλεις πράττειν, μὴ πρόλεγε· ἀτυχήσας γὰρ γελασθήσῃ. 3. Ὃς ἂν τὴν πατρίδα καὶ τοὺς πολίτας σώσῃ, ὑφ' ἁπάντων θαυμασθήσεται καὶ ὑμνηθήσεται. 4. Λυπῶν καὶ φροντίδων οἱ ἄνθρωποι οὔποτ' ἀπαλλαχθήσονται. 5. Τειρεσίας ὁ μάντις Ὀδυσσεῖ ἐμαντεύσατο, ὅτι μόνος ἐπ' ἀλλοτρίας νεὼς κομισθήσοιτο εἰς τὴν πατρίδα. 6. Πύῤῥος ἤλπιζε τοὺς Ῥωμαίους ἀπείρους ὄντας τῶν ἐλεφάντων φοβηθήσεσθαι καὶ ταραχθήσεσθαι ἐν τῇ μάχῃ. 7. Ὅταν κακῶς πράξῃς, ὑπὸ πολλῶν φίλων ἀπολειφθήσῃ. 8. Κακοῖς

ὁμιλῶν αὐτὸς κακὸς νομισθήσῃ. 9. Ξέρξες ἤλπιζε τὴν Ἑλλάδα ἐν βραχεῖ χρόνῳ δουλωθήσεσθαι. 10. Θεμιστοκλῆς ἐνόμισεν, ὅτι ἡ Ἑλλάς μετ᾽ ὀλίγον χρόνον ἐλευθερωθήσοιτο.

- 52 -

## Θεμιστοκλῆς παρ᾽ Ἀρταξέρξῃ.

Θεμιστοκλῆς ἀτιμασθεὶς ὑπὸ τῶν Ἀθηναίων καὶ διωχθεὶς ὑπὸ τῶν ἐναντίων τέλος ἔφυγε πρὸς Ἀρταξέρξην, τὸν Ξέρξου υἱόν. Ἐρωτηθεὶς οὖν ὑπὸ τῶν ὑπηρετῶν, τίς εἴη καὶ τί βουλόμενος ἀφίκοιτο, ἔλεγεν, ὅτι ἥκοι ὡς βασιλεῖ διαλεξόμενος περὶ μεγάλων πραγμάτων. Τὸ δὲ αὐτοῦ ὄνομα ἔφη οὐδένα πρότερον βασιλέως ἀκούσεσθαι. Ἐπεὶ οὖν εἰσήχθη πρὸς Ἀρταξέρξην καὶ αὐτῷ διελέχθη, βασιλεὺς αὐτῷ βασιλικῶς ἐχρήσατο. Οἱ δὲ βασιλέως φίλοι μαθόντες τὸ ὄνομα τὸ τοῦ ξένου ὠργίσθησαν καὶ εἷς αὐτῶν εἶπεν· "Ὦ δράκον ποικίλε, ὁ βασιλέως δαίμων σε δεῦρο ἤγαγεν". Βασιλεὺς δὲ ἐμακάριζεν ἑαυτόν, ὅτι συμμάχου οὕτω δυνατοῦ ἐκράτησε, καὶ ἔθυσε τοῖς θεοῖς καὶ τρὶς τῆς νυκτὸς ἐν ὕπνῳ λέγεται βοῆσαι· "Ἔχω Θεμιστοκλέα τὸν Ἀθηναῖον". Ἐπέστησε δὲ ἐκεῖνον τρισὶ πόλεσιν· οὗτος δὲ ᾤκει πολλὰ ἔτη ἐν τῇ Μαγνησίᾳ, ὑπὸ βασιλέως τετιμημένος.

## Περὶ τῶν Πεισιστρατιδῶν.

I. Μετὰ τὸν τοῦ Περιστράτου θάνατον ἦρχον ἐν᾽Αθήναις οἱ υἱεῖς αὐτοῦ Ἱππίας καὶ Ἵππαρχος. Ἐπεὶ δ᾽ ὁ Ἵππαρχος ὑπὸ τῶν πολιτῶν διὰ ὕβριν τινὰ ἐφονεύθη, ὁ Ἱππίας φοβηθείς, μὴ καὶ αὐτὸς φονευθείη ἢ φυγαδευθείη, τοὺς μὲν τῶν πολιτῶν ἀπεστέρησε τὸν βίον, τοὺς δ᾽ ἐξέβαλεν. Οὕτως ἡ τυραννὶς ἤδη πάλαι μισεθεῖσα ἔτι μᾶλλον ἐμισήθη. Ἀπορούντων δὲ τῶν Ἀθηναίων, ᾧτινι τρόπῳ ἐλευθερώσαιεν ἂν τῶν τυράννων τὴν πόλιν, ἐκέλευσεν ἡ Πυθία τοὺς Λακεδαιμονίους βοηθῆσαι τοῖς Ἀθηναίοις· ἀνεπείσθη δὲ μεγάλοις καὶ τιμίοις δώροις τῶν Ἀλκμαιονιδῶν, οἵ ποτε ὑπὸ Πεισιστράτου ἐκ τῶν Ἀθήνῶν ἐξεβλήθησαν, νῦν δὲ παντὶ τρόπῳ ἐμηχανῶντο, ὅπως αἱ Ἀθῆναι τῆς τυραννίδος ἀπαλλαχθήσοιντο.

- 53 -

II. Οἱ οὖν Λακεδαιμόνιοι, καίπερ ξένοι ὄντες τῶν Πεισισρτατιδῶν, πρῶτον μὲν Ἀγχιμόλιον, ἄνδρα εὐδόκιμον, μετὰ στρατοῦ πολλοῦ ἔπεψαν. Ἐπεὶ δ᾽ οὗτος ὑπὸ τῶν Θετταλῶν ἐνικήθη, οἳ τῷ τυράννῳ ἐβοήθησαν, Κλεομένης ὁ βασιλεὺς μετὰ μείζονος στρατοῦ εἰς τὴν Ἀττικὴν ἐπέμφθη, ὑφ᾽ οὗ οἱ μὲν Θετταλοὶ ἐνικήθησαν, ὁ δ᾽ Ἱππίας ἐν τῇ ἀκροπόλει κατειρχθεὶς ἐπολιορκήθη. Φοβούμενος οὖν ὁ τύραννος περὶ τῶν ἑαυτοῦ παίδων κρύφα ἐξέπεμψεν αὐτοὺς ἔξω τῆς χώρας, ἵνα εἰς τὴν Ἀσίαν σωθεῖεν· οὗτοι δ᾽ ἁλίσκονται ὑπὸ τῶν Λακεδαιμονίων. Τότε δ᾽ ὁ τύραννος σπονδὰ ἐποιήσατο πρὸς τοὺς πολιορκοῦντας, ἵνα οἱ παῖδες ἀπολυθεῖεν· ἐκ δὲ τῶν σπονδῶν ἠναγκάσθη τὴν Ἀττικὴν καταλιπεῖν. Οὕτως ἠλευθερώθησαν τῆς τυραννίδος οἱ Ἀθηναῖοι.

## Aoristus II et futurum II passivi.

1. Ἀλέξανδρος ἄριστος μὲν στρατηγός, οὐκ ἄριστος δ᾽ ἄνθρωπος ἐφάνη. 2. Ἀχιλλεὺς καὶ Πάτροκλος ἐκ παίδων φίλοι ἦσαν· ὁμοῦ γὰρ ἐτράφησαν καὶ ἐπαιδεύθησαν. 3. Ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ πολλαὶ τῶν Περσῶν νῆες ὑπὸ τῶν Ἑλλήνων διεφθάρησαν. 4. Δημοσθένους πρὸς Φωκίωνα λέξαντος· "Ἀποκτενοῦσί σε οἱ Ἀθηναῖοι, ἐὰν μανῶσιν", "Ἐμὲ μὲν ", ἔφη, "ἐὰν μανῶσι, σὲ δέ, ἐὰν σωφρονῶσιν". 5. Αἰσχυνθείην ἄν, εἰ τῆς ἐμαυτοῦ δόξης μᾶλλον φροντίζων φανείην ἢ τῆς κοινῆς σωτηρίας. 6. Οἱ μὲν τῆς πατρίδος εὐεργέται τιμηθέντων, οἱ δὲ προδόται ἀποσφαγέντων. 7. Ὁ γὰρ σοφίας καρπὸς οὐ φθαρήσεται. 8. Πλάτων ἐτάφη ἐν τῇ Ἀκαδεμίᾳ.

### Ὁδοιπόροι καὶ ἄρκτος.

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐπορεύοντο. Ἄρκτου δ᾽ αὐτοῖς ἐπιφανείσης ὑπερεξεπλάγησαν· ἐνόμιζον γὰρ αὐτίκα ὑπ᾽ αὐτῆς διαφθαρήσεσθαι. Ὁ μὲν οὖν ἕτερος ἐπὶ δένδρον ἀνέφυγεν, ὁ δ᾽ ἕτερος,



μάτην δεηθείς ἐκείνου βοηθῆσαι αὐτῷ, ἔῤῥιψεν ἑαυτὸν χαμᾶζε προσποιούμενος τοῦ βίου ἀπαλλαγῆναι· ἤκουσε γὰρ ποτε νεκροῦ μὴ ἅπτεσθαι τοῦτο τὸ ζῷον. Ἡ μὲν οὖν ἄρκτος τῆς κεφαλῆς καὶ τῶν ὤτων αὐτοῦ ὠσφραίνετο, ἔπειτα δὲ στραφεῖσα ἀπηλλάγη. Ἀπαλλαγείσης δ᾽ αὐτῆς ὁ ἕτερος ἀπὸ δένδρου καταβαίνων ἠρώτησεν· "Τί δὲ σοι πρὸς τὸ οὖς ἔλεγεν ἡ ἄρκτος; " Ὁ δ᾽ ἀπεκρίνατο· "Συνεβούλευσέ μοι μὴ πιστεύειν φίλοις, οἳ τοὺς ἑταίρους ἐν κινδύνοις κατέλιπον".

## Indicativus perfecti activi. Verba pura, muta et liquida.

I. Φωκίων γέρων ὢν ἔλεξεν· "Πολλὰ συμβεβούλευκα τοῖς Ἀθηναίοις καὶ προσήκον, ἀλλ᾽ οὐ πεπιστεύκασι τοῖς ἐμοῖς λόγοις". 2. Πολέμου καταλυθέντος ὁ στρατηγὸς ἔλεξε πρὸς τοὺς συμμάχους· "Ἄνδρες σύμμαχοι, συνεστρατεύκατε ἡμῖν, πολλοὺς δὲ κινδύνους κεκινδυνεύκατε μεθ᾽ ἡμῶν, ἀνδρείως μαχόμενοι περὶ τῆς κοινῆς σωτηρίας καὶ ἐλευθερίας· νῦν οὖν, ἐπεὶ νενικήκαμεν τοὺς πολεμίους, εἰς ἀεὶ φίλοι μένωμεν ἀλλήλοις". 3. Ἐπὶ τοῖς ἔπεσι τεθαυμάκαμεν μάλιστα τὸν Ὅμηρον, ἐπὶ δὲ τῇ τραγῳδίᾳ τὸν Σοφοκλέα. 4. Ἀρτάβανος συνεβούλευε Ξέρξῃ μὴ στρατεύεσθαι ἐπὶ τοὺς Ἕλληνας, ἀλλ᾽ οὐ πέπεικεν αὐτόν. 5. Τὴν πόλιν, ἐν ᾗ ἂν πολῖται τοῖς νόμοις μὴ πείθωνται, ἀθλιωτάτην εἶναι κεκρίκαμεν. 6. Ἀγησίλαος ὁ βασιλεὺς ἀποθνῄσκων τοὺς φίλους ἐκέλευσεν εἰκόνα ἑαυτοῦ μὴ ποιῆσαι. "Ἐὰν γὰρ καλὸν τί πεποίηκα", ἔφη, "τοῦτό μοι μνημεῖόν ἐστιν· εἰ δὲ μηδέν, οὐδὲ πάντες οἱ ἀνδριάντες.

## Coniunctivus, optativus, imperativus, infinitivus et participium perfecti activi. Plusquamperfectum activi.

1. Ἡ Σφὶγξ ἀπέκτεινεν ἕκαστον, ὃς μὴ λελύκοι τὸ αἴνιγμα τὸ ὑπ᾽ αὐτῆς προβληθέν. 2. Ὅμηρος τὴν Ἑλλάδα τοῖς ἑαυτοῦ ἔπεσι πεπαιδευκέναι λέγεται. 3. Μήδεια τὰ τοῦ Ἰάσονος τέκνα πεφονευκυῖα ἔφυγεν εἰς ’Αθήνας. 4. Θαυμάζομεν ἔτι καὶ νῦν τὰ λαμπρὰ ἱδρύματα, οἷς ποτε Περικλῆς τὰς ’Αθήνας ἐκεκοσμήκει. 5. Οἱ ’Αθηναῖοι ἀπέκτειναν τοὺς πρέσβεις, οὓς Ξέρξης εἰς τὴν Ἑλλάδα ἀπεστάλκει γῆν καὶ ὕδωρ αἰτήσοντας. 6. Ὁ ναύτης ὁ τὴν ναῦν εὖ παρεσκευακὼς οὐ φοβεῖται τὸν χειμῶνα. 7. Ὦ ἄνδρες ’Αθηναῖοι, πολλάκις τοὺς ἄλλους Ἕλληνας ἐν τοῖς κινδύνοις σεσώκατε. 8. Ἆρα πέπεικά σε τοιαῦτα λέγων. 9. Νέος πεφυκὼς πολλὰ χρηστὰ μάνθανε.

## Perfectum II et plusquamperfectum II activi.

1. Δαίδαλος ὁ ἀρχιτέχτων ἐξ Ἀθηνῶν εἰς Κρήτην πεφευγέναι, ἐκεῖ δὲ τὸν λαβύρινθον κατεσκευακέναι λέγεται 2. Σοφοκλῆς, ὡς λέγουσι, πλέω ἢ ἑκατὸν δράματὰ ἐγεγράφει. 3. Κροῖσος εἰς Δελφοὺς πρέσβεις ἐπεπόμφει περὶ τῆς στρατείας μαντευσομένους· πεποιθὼς δὲ τῷ τοῦ Ἀπόλλωνος χρησμῷ ἐπὶ τὸν Κῦρον ἐστρατεύσατο. 4. Οἱ ’Αθηναῖοι τῇ τοῦ Θεμιστοκλέους βουλῇ πεποιθότες τὴν πόλιν κατελελοίπεσαν καὶ εἰς τὰς ναῦς ἀπεπεφεύγεσαν. 5. Πλούτῳ πεποιθὼς ἄδικα μὴ πειρῶ ποιεῖν. 6. Ὁ δημιουργὸς ἥσθη τὸ ἔργον καλῶς πεπραχώς. 7. Θεμιστοκλῆς ἠτιμάσθη ὡς βεβλαφὼς τὸ ἄστυ. 8. Τοὺς πρώτους νόμους τοῖς ’Αθηναίοις γεγραφέναι λέγεται ὁ Δράκων. 9. Ὦ Ἀθηναῖοι, ἀπεκτόνατε Σωκράτη, ἄνδρα σοφόν.



## Indicativus perfecti medii et passivi.

1. Χάριν ἔχωμεν τοῖς τε γονεῦσι καὶ τοῖς διδασκάλοις, εἰ καλῶς πεπαιδεύμεθα. 2. Χαίρετε, ὦ πολῖται, νενίκηνται οἱ πολέμιοι, ὁ δὲ πόλεμος πέπαυται. 3. Ἡ σοφία ἄριστον κτῆμα κέκριται ὑπὸ πάντων τῶν σωφρόνων. 4. Μαχώμεθα γενναίως ὑπὲρ τῆς χώρας, ἐν ᾗ τεθράμμεθα. 5. Τῷ τοῦ Κύρου τάφῳ ὁ Καμβύσης ἐπιγράψαι ἐκέλευσε τάδε· "Ὦ ἄνθρωπε, ἐγὼ Κῦρός εἰμι ὁ Καμβύσου· κέκτημαι τὴν ἀρχὴν Πέρσαις· βεβασίλευκα τῆς ’Ασίας· μὴ οὖν φθονήσῃς μοι τοῦ μνήματος". 6. Ἆρ᾽ εὖ γέγραπται ἥδε ἡ ἐπιστολή; 7. Ἀεὶ ἡ ἐλευθερία ἄριστον κτῆμα κέκριται καὶ κριθήσεται. 8. Δικαίως ἡμῖν συμβεβούλευται τοῖς μεγάλοις Διονυσίοις παρεῖναι καὶ ἡμεῖς οὐκ ἐσφάλμεθα. Πολλὰ γὰρ καὶ θαυμάσια δράματα ἐν τῷ θεάτρῳ ἡμῖν ἐφάνθη. 9.Ποῦ κέκρυφθε; 10. Ἥδε ἡ πόλις ὑπὸ τῶν Ῥωμαίων ᾤκισται.

## Coniunctivus, optativus, imperativus, infinitivus et participium perfecti medii et passivi.

## Plusquamperfectum medii et passivi.

1. Εὖ βεβούλευσο πρὸ τοῦ ἔργου. 2. Βουλεύου βραδέως, διάπραττε δὲ ταχέως τὰ βεβουλευμένα. 3. Ξενοφῶν λέγει Κύρου τοῦ νεωτέρου μηδένα ὑπὸ πλειόνων πεφιλῆσθαι οὔθ᾽ Ἑλλήνων οὔτε βαρβάρων. 4. Ῥόδον τὴν νῆσον τὸ παλαιὸν κεκρύφθαι λέγουσιν ὑπὸ τῆς θαλάττης. 5. Ἀλεξάνδρεια ἡ πόλις ἐν Αἰγύπτῳ ὑπ᾽ Ἀλεξάνδρου ἐκτίσθαι λέγεται. 6. Σωκράτης πένης ἦν· ἐκέκτητο γὰρ οὐ πλέον ἢ μνᾶν ἀργυρίου. 7. Οἱ ’Αθηναῖοι μέγα στράτευμα ἔχοντες ὡρμήθησαν εἰς Σικελίαν, ἡγεμὼν δὲ τοῦ στρατεύματος ἀπέσταλτο Ἀλκιβιάδης ὁ τοῦ Κλεινίου. 8. Οἱ τῶν Ῥωμαίων νόμοι ἐν δέκα σανίσι γεγραμμένοι ἦσαν. 9. Πάντα τὰ κεκαλυμμένα δηλωθήσεται. 10. Τὸ ἔργον ἤδη πεπράχθω. 11. Αἱ ἐπιστολαὶ γεγράφθων.



## Περὶ Προμηθέως.

Προμηθεὺς οὐ μόνον τοὺς ἀνθρώπους ἐξ ὕδατος καὶ γῆς πλάσαι λέγεται, ἀλλὰ καὶ πολλῶν ἀγαθῶν αὐτοῖς αἴτιος πεφυκέναι. Τὸ γὰρ πῦρ ἐκ τοῦ οὐρανοῦ κλέψας, ὅ ποτε Ζεὺς τοὺς ἀνθρώπους ἀφῄρητο ὀργισθείς, αὐτοῖς πάλιν ἐκόμισεν. Ἐνταῦθα Ζεὺς ἔτι μᾶλλον θυμωθεὶς προσέταξεν Ἡφαίστῳ τὸν Προμηθέα πέτρᾳ τινὶ τοῦ Καυκάσου ὄρους προσηλῶσαι. Ὁ οὖν Ἥφαιστος συνεργοῖς χρησάμενος Κράτει καὶ Βίᾳ, τοῖς αὐτοῦ ὑπηρέταις, εὐθὺς διέπραξε τὰ προστεταγμένα. Τότε δὲ Προμητεὺς δεδεμένος καὶ ἐν τῇ πέτρᾳ ἐκτεταμένος δεινὰ ἔπασχεν· ἀετὸς γὰρ καθ᾽ ἑκάστην ἡμέραν παραγιγνόμενος κατήσθιε τὸ ἧπαρ αὐτοῦ αὐξανόμενον διὰ νυκτός. Τέλος δὲ τῶν παθῶν ὑφ᾽ Ἡρακλέους ἀπηλλάχθαι λέγεται, ὃς τὸν μὲν ἀετὸν κατετόξευσε, τὸν δὲ Προμηθέα τῶν δεσμῶν ἔλυσεν.

## Futurum III passivi. Adiectiva verbalia.

1. Ἐαν τοὺς πολίτας ἀμείνους ποιήσῃς, μέγιστος τῆς πόλεως εὐεργέτης ἀναγεγράψῃ. 2. Ἀεὶ σαφῶς ἄρξαι τοῦ ἔργου· καλῶς δὲ σοι πάντα πεπράξεται. 3. Τί ποιητέον, ὦ φίλοι; 4. Εἰ βούλει σοι τοὺς ἀνθρώπους εὐμενεῖς εἶναι, θεραπευτέον τοὺς ἀνθρώπους, εἰ δ᾽ ὑπὸ τῶν φίλων ἀγαπᾶσθαι ἐθέλεις, εὐεργετητέον τοὺς φίλους. 5. Οὐδὲν ἄλλο χρὴ τοῖς νέοις μᾶλλον παραινεῖν ἢ τὸ πειστέον τοῖς νόμοις. 6. Εἰ βούλει εὐδαίμων εἶναι, σωφροσύνη μὲν σοι διωκτέα καὶ ἀσκητέα, ἀκολασία δὲ φευκτέα. 7. Πάντα τὰ τῶν ἀνθρώπων χρήματα φθαρτά, ἡ δ᾽ ἀρετὴ ἀθάνατός ἐστιν. 8. Μετ᾽ ὀργῆς τοῖς φρονίμοις πρακτέον οὐδέν.

## Тексти для повторення

1. Δέαινα ὀνειδιζομένη ὑπὸ τῆς ἀλώπεκος ἐπὶ τῷ ἕνα μόνον τίκτειν· " Ἕνα", ἔφη, "ἀλλὰ λέοντα".

2. Δημῶναξ ὁ φιλόσοφος ἐρωτηθείς· "Ποῖα νομίζεις εἶναι τὰ ἐν Ἅιδου;", " ὅταν αὐτὸς" , ἔφη , "θεάσωμαι, ἐκεῖθέν σοι ἀγγελῶ .

3. Ἀνταγόρας, ἐπεὶ ἀνεγίγνωσκε παρὰ Βοιωτοῖς τὸ τῆς Θηβαΐδος σύγγραμμα καὶ οὐδεὶς ἐκρότει, κλείσας τὸ βιβλίον, "Δικαίως", ἔφη, "καλεῖσθε Βοιωτοί· βοῶν γὰρ ὦτα ἔχετε".

4. Διογένης εἰς μικρόν τι πόλισμα ἐλθὼν καὶ ἰδὼν μεγάλας πύλας· "Ὦ πολῖται", ἔφη, κλείσατε τὰς πύλας, ἵνα μὴ τὸ πόλισμα ἐξέλθῃ.

5. Ἀθηναίου τινὸς εὐλογοῦντος ἄγαν τοὺς ἄνδρας τοὺς ἐν τῇ μάχῃ τετελευτηκότας, ἣ ἐγένετο πρὸς Λακεδαιμονίους, Ἀγησίλαος· "Ἀλλὰ πόσου ἐπαίνου", ἔφη, "ἀξίους ἡγήσῃ ἡμᾶς τοὺς ἐκείνους νενικηκότας;"

6. Σχολαστικός τις νοσοῦντα ἐπισκεπτόμενος ἠρώτα περὶ τῆς ὑγιείας· ὁ δὲ οὐκ ἐδύνατο ἀποκρίνασθαι. Ὀργισθεὶς οὖν εἶπεν· "Ἐλπίζω κἀμὲ νοσήσειν καὶ ἐλθόντι σοι οὐκ ἀποκρινεῖσθαι".

7. Ξέρξου κελεύσαντος· "Πέμψον τὰ ὅπλα", ὁ Λεονίδας ἀντεκέλευσεν· "Ἐλθὼν λαβέ".

8. Ἀριστοτέλης ἐρωτηθείς, τί τῶν ζῴων κάλλιστόν ἐστιν, ἔλεξεν· "Ἄνθρωπος".

9. Στρατόνικος ὁ κιθαριστὴς διδάσκων κιθαριστάς, ἐπειδὴ ἐν τῷ διδασκαλείῳ εἶχεν ἐννέα μὲν εἰκόνας τῶν Μουσῶν, τοῦ δ' Ἀπόλλωνος μίαν, μαθητὰς δὲ δύο, πυνθανομένου τινός, πόσους ἔχοι μαθητάς, ἔφη· "Σὺν τοῖς θεοῖς δώδεκα".



10. Ἀριστοτέλης τῆς παιδείας μὲν ῥίζας πικρὰς εἶναι ἔφη, τοὺς δὲ καρποὺς γλυκεῖς.

## Κροῖσος καὶ Σόλων.

Ἐν τῇ Ἀσίᾳ Σόλων ὁ σοφὸς καὶ Κροίσῳ ὁμιλῆσαι λέγεται, ὃς ἐβασίλευε τῶν Λυδῶν καὶ ἐπὶ τῇ εὐτυχίᾳ ηὐδαιμονίζετο. Μεγίστους γὰρ θησαυροὺς αὐτός τε καὶ οἱ πρόγονοι αὐτοῦ ἤθροισαν. Οὗτος οὖν καίπερ τοὺς Ἴωνας βιασάμενος ἐφείσατο αὐτῶν καὶ χαρίσασθαι βουλόμενος τοῖς Ἕλλησι καὶ τοῖς θεοῖς αὐτῶν χρυσᾶ ἀναθήματα καὶ χαλκοὺς τρίποδας εἰς τοὺς Δελφοὺς ἔπεμψεν.

Τὸν οὖν Ἀθηναῖον ξένον ὁ Κροῖσος, ἐπεὶ λαμπρῶς ἐξένισεν, τάδε ἠρώτησεν· "Τινὰ τῶν ἀνθρώπων νομίζεις μάλιστα ὑπέρεχειν εὐδαιμονίᾳ;" Ὁ δὲ Σόλων· "Ἀθηναῖον τινα", ἔφη , "τὸ ὄνομα Τέλλον. Οὗτος οὔτε πλούσιος οὔτε πένης ἦν, παῖδες δὲ αὐτοῦ ἦσαν καλοὶ κἀγαθοὶ τὸ

τε σῶμα καὶ τὴν ψυχήν, καὶ οἱ πολῖται αὐτὸν ἐθεράπευσαν ἐπὶ ταῖς ἀρεταῖς αὐτοῦ. Τέλλος αὐτὸς δ᾽ ἐτελεύτησεν ὑπὲρ τῆς πατρίδος ἀνδρείως μαχόμενος. Τούτον, ἄρα ἀεὶ ὀνομάσω εὐδαίμονα. Τὴν δὲ σὴν εὐδαιμονίαν - οὔ σε ψεύσω, ὦ Κροῖσε - οὐ δικάσω πρὶν ἀκοῦσαι περὶ τῆς σῆς τελευτῆς. Σὺ δὲ λόγισαι, εἰ ὀρθῶς ἔλεξα .

’Αλλ᾽ ἐκεῖνον οὐκ ἔπεισεν. Ὕστερον δὲ Κῦρος, ὁ τῶν Περσῶν βασιλεὺς, ἐνίκησε τοὺς Λυδοὺς καὶ τοὺς Κροίσου θησαυροὺς ἥρπασε καὶ αὐτὸν πυρὶ κάειν ἐψηφίσατο. Τότε δὲ Κροῖσος τὸ Σόλωνος ὄνομα τρὶς βοῆσαι λέγεται. Κῦρος δὲ αὐτὸν ἔλυσεν ἐκ τῶν δεσμῶν.



## Παροιμίαι.

1. Ἡ σοφία εὐτυχία ἐστίν.
2. Ἡ ἐπιστήμη πηγή ἐστι τῆς σοφίας.
3. Ἡ φιλία ἄγκυρά ἐστιν ἐν τῇ ἀτυχίᾳ.
4. Ἡ γλῶττα πολλάκις ἐστιν αἰτία ἔχθρας.
5. Λυπῶν ἰατρός ἐστιν ἀνθρώποις χρόνος.
6. Καλὰ χαλεπά.
7. Κακὸν φέρουσι καρπὸν οἱ κακοὶ φίλοι.
8. Γλαῦκα εἰς ’Αθήνας.
9. Χάρις χάριν, ἔρις δ᾽ ἔριν τίκτει.
10. Κακοῦ κόρακος κακὸν ᾠόν.
11. Καλὸν ἐστι ὑπὲρ τῆς πατρίδος ἀποθνῄσκειν.
12. Ὀρνίθων γάλα.
13. Νοῦς τίκτει χρήματα, ἀλλ᾽ οὐ χρήματα νοῦν.
14. Ἐξ ὄνυχος λέοντα γιγνώσκομεν.
15. Πολλοὶ οἴκοι μὲν εἰσι λέοντες, ἐν μάχῃ δ᾽ ἀλώπεκες.
16. Ἡ πατρίς ἐστι κοινὴ μήτηρ ἡμῶν ἁπάντων.
17. Χάρις γηράσκει ταχέως.
18. Κάλλιστόν ἐστι κτῆμα παιδεία βροτοῖς.

19. Ἅπαντα τὰ ζητούμενα εὑρίσκεται.

20. Πόλεως ψυχή - οἱ νόμοι.

21. Μὴ ἐν πολλοῖς ὀλίγα λέγε, ἀλλ᾽ ἐν ὀλίγοις πολλά.

22. Πασῶν τῶν τέχνῶν ἀρχὴ χαλεπή.

23. Ὅσοι ἄνθρωποι, τοσαῦται γνῶμαι.

24. Πολλῶν ὁ λιμὸς γίγνεται διδάσκαλος.

25. Ἐμπειρία τῆς ἀπειρίας κρατεῖ.

26. Ὑγιὴς ψυχὴ ἐν ὑγιεῖ σώματι.

27. Ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων.

28. ’Αρχή ἐστιν ἥμισυ παντός.

29. Σπεῦδε βραδέως.

30. Βραχὺς μὲν ὁ βίος , ἡ δὲ τέχνη μακρά.

31. Οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου.

32. Οὐκ ἔστι μητρὸς οὐδὲν ἥδιον τέκνοις.

33. Πάντα ῥεῖ.

34. Ὑπὲρ σεαυτοῦ μὴ φράσῃς ἐγκώμιον.

35. Ἡ γλῶττα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν.

36. Γνῶθι σεαυτόν.

37. Μηδὲν ἄγαν.

38. Κακοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ κακός.



39. Ὕβρις κακὸν μέγιστον ἀνθρώποις ἔφυ.

40. Ἐὰν μὴ φυλάξῃς μικρά, ἀπολεῖς τὰ μείζονα.

41. Ἐλέφαντα ἐκ μυίας ποεῖς.

42. Ἐλέφας μῦν οὐκ ἁλίσκει.

43. Γλώττης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.

44. Ὀργὴ φιλοῦντος μικρὸν ἰσχύει χρόνον.

45. Ἐν πᾶσι μέτρον ἄριστον.

46. Σεμνὸς ἔρως ἀρετῆς.

47. Χαλεπὰ τὰ καλά.

48. Ὀλίγη πρὸς κακότημα ὁδός.

49. Κάλλιστον ἐφόδιον ἐν τῷ γήρατι ἡ σοφία.


Маслюк Віталій Петрович

Олійник Любов Рудольфівна

Навчальний посібник

Видавничий центр

Львівського державного університету

імені Івана Франка

Львів, вул. Університетська, 1

Редактор

Підписано до друку

Формат 60х84/16. Папір друк. № . Умовн. друк арк.

Умовн. фарбо-відб. Обл.-вид. арк.

Тираж Замовлення